Separatabdruck aus:

COMMENTATIONES

IN HONOREM

GUILELMI STUDEMUND.

STRASSBURG
J. H. ED. HEITZ (HEITZ & MÜNDEL).
1889.

ANONYMI

GRAMMATICAE EPITOMA.

LIBER ALTER.

NUNC PRIMUM EDIDIT

PETRUS EGENOLFF.

In numero sat magno eorum discipulorum, qui Tibi, praeceptor optime, diem gratulabuntur, quo summorum in philosophia honorum ante haec quinque lustra ab academia litterarum Halensi in Te rite delatorum memoriam instaurabis, cum me quoque esse vellem, dubitanti quodnam potissimum pietatis documentum Tibi dicarem, nihil magis aptum mihi videbatur quam haec anonymi grammaticae epitoma, cuius editio aliquot ante annos incohata variis de causis nondum absoluta erat. Graeculus enim ille homo infimae aetatis et primum me Tibi, mi Studemund, devinxit et haec mea qualiacumque sunt studia, in quibus adhuc sum, exercuit. Nam cum prioris libri huius grammaticae Byzantinae exemplar, quod anno h. s. XXII ex codice quodam Reginaehradeciensi primus Nicolaus Titze ediderat (in ‚Manuelis Moschopuli Cretensis opuscula grammatica' p. 17—43), Tu cum codice Veneto Marciano 531 fol. 80 v — 88 v contulisses, alterum librum nondum editum Te dictante Rudolfus Schoell et Adolfus Hart ex eodem codice fol. 88 v inf. — fol. 105 r descripsissent (qua de re est egregia Adolfi Hart commentatio: ‚de Dionysii Thracis grammaticae epitoma partim inedita, quae est in codice Veneto Marciano DXXXI', Berolini 1871), Tu, qua in discipulos Tuos comitate semper fuisti, non solum ut hoc apographum ad quaestiones meas grammaticas adhiberem, verum etiam ut ederem roganti mihi permisisti. cuius editionis pars prior exemplari Titziano emendatior et adnotatione prolegomenisque instructa prodiit Berolini anno h. s. LXXVII. Iam sequitur aliquando liber alter. ad cuius crisin factitandam quod praeter Tuum apographum codicis Veneti altero libro manu scripto uti potui, Gustavi Uhlig et Alfredi Hilgard propensae in me voluntati debeo. qui homines docti Londini commorati cum in musei Britannici codice Harleiano 5624 inde a folio 95 r med. usque ad fol. 129 v eundem librum alterum huius epitomae servari intellexissent, precibus meis libenter obsecuti exemplar Londinense cum Veneto meum in usum contulerunt. Idem Gustavus Uhlig ab Hermanni Mueller—Struebing huma-

nitate facile impetravit, ut ex eodem codice Harleiano fol. 79—95 lectiones prioris libri ad editionis meae marginem diligentissime enotaret. Quibus viris omnibus etiam hoc loco ut par est gratias ago maximas.

Reddo igitur Tibi, praeceptor mihi dilectissime, quod accepi abs Te, sperans hanc ἀνταπόδοσιν ὀλίγην τε φίλην τε neque prorsus Te indignam neque ingratam Tibi futuram. Quominus autem huic quoque libro alteri fontium locos et testimonia subicerem omnia — neque enim adscripsi fere nisi unde aliquid ad textum verborum emendandum redundare videretur — et praefationem praemitterem, huius me loci angustiis impeditum esse scito. Promitto autem me quam primum fieri poterit totam quaestionem de huius epitomae inscriptione, consilio, ratione, de auctore, denique de fontibus cum aliis quae huc pertinent quaestionibus denuo singulari commentatione esse tractaturum.

Codicum autem quibus usus sum sigla sunt haec:

1) H: codex Harleianus 5624, quo quae continentur enumerata sunt (sed parum ut videtur diligenter) in bibliothecae Harleianae catalogo, qui inscribitur ‚A catalogue of the Harleian manuscripts in the British Museum' Londini 1808 vol. III pag. 282.

2) V: codex Venetus Marcianus 531, de quo ipse Tu dixisti in indice lect. Vratislav. hib. MDCCCLXXXVII — LXXXVIII pag. 4 sq. et Te auctore ego in prolegomenis editioni libri prioris huius anonymi praemissis pag. V sq.

Horum autem codicum in ea quam dixi parte ratio est ea, ut aut Venetus ex Harleiano transcriptus aut uterque ex eodem archetypo fluxisse videatur.

ΕΠΙΤΟΜΗΣ ΝΕΑΣ ΓΡΑΜΜΑΤΙΚΗΣ ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ,

ἐν ᾧ ὅροι τε τῶν ὀκτὼ τοῦ λόγου μερῶν, καὶ ἀπόδειξις, διατί ὀκτώ εἰσι καὶ οὔτε πλείω οὔτ' ἐλάττω, καὶ διατί οὕτω κατείλεκται, ὅροι τε τῶν παρεπομένων αὐτοῖς, καὶ τίνα καὶ τίσι παρέπεται, καὶ τίνα αὐτοῖς ἴδια καὶ κοινά.

Κεφάλαιον πρῶτον·

περὶ ὅρων τῶν ὀκτὼ τοῦ λόγου μερῶν, καὶ διατί ὀκτὼ καὶ οὔτε πλείω οὔτ' ἐλάττω.

Ἕκαστον τῶν ὀκτὼ τοῦ λόγου μερῶν κατὰ συνθήκην ἐφεύρηται καὶ ἢ οὐσίαν σημαίνει ἢ τὴν ἐν αὐτῇ διάθεσιν. καὶ εἰ σημαίνει οὐσίαν, ἢ μετὰ ποιότητος σημαίνει ἢ χωρὶς ποιότητος. καὶ εἰ μὲν χωρὶς ποιότητος, ἔχομεν ἓν μέρος λόγου, ὃ λέγεται ἀντωνυμία. ἔστι δὲ ἀντωνυμία λέξις ἀντὶ ὀνόματος παραλαμβανομένη, προσώπων ὡρισμένων δηλωτική. οὐχ ὡς δοκεῖ δέ τισιν ἀληθὲς τὸ τὴν ἀντωνυμίαν σὺν τῇ οὐσίᾳ καὶ ποιότητα δηλοῦν. τὰ μὲν γὰρ ὀνόματα σημαίνει οὐσίαν καὶ ποιότητα διὰ τῆς φωνῆς, ἡ δὲ ὅσον κατὰ φωνὴν μόνην οὐσίαν σημαίνει, εἰ καὶ φανεροῦται ἡ ποιότης διὰ τῆς δείξεως· ἐπεὶ πᾶσα ἀντωνυμία ἢ δεικτική ἐστιν ἢ ἀναφορική. ἔτι εἰσὶν ὀνόματα οὐσίαν σημαίνοντα καὶ ποιότητα καὶ τὰς λοιπὰς τῶν κατηγοριῶν· ἀντωνυμίαν δὲ οὐδὲ μίαν ἔχομεν σημαίνουσαν τὸ τῶν ἄλλων κατηγοριῶν πλὴν οὐσίας. ὥστε, εἰ μὲν χωρὶς ποιότητος, ἔχομεν τὴν ἀντωνυμίαν, εἰ δὲ οὐσίαν μετὰ ποιότητος, ἔχομεν τὸ ὄνομα. εἰ δ' αὖ πάλιν ἡ φωνὴ σημαίνει οὐσίας διάθεσιν, ἢ ἐνέργειαν σώματος ἢ ψυχῆς διάθεσιν ἄνευ πτώσεως κεχωρισμένως, ἔχομεν τὸ ῥῆμα. ἢ σημαίνει οὐσίαν καὶ διάθεσιν κατὰ ταὐτὸ καὶ ποιεῖ τὴν μετοχήν. ἢ σημαίνει ἀναφοράν τινα προεγνωσμένου πράγματος συναρτώμενον μόνον τοῖς πτωτικοῖς καὶ ποιεῖ ἄρθρον. καὶ ἄρθρον μέν ἐστι μέρος λόγου πτωτικόν, προτασσόμενον τῆς κλίσεως ὀνομάτων καὶ ὑποτασσόμενον. ὄνομα δὲ μέρος λόγου πτωτικόν, σῶμα ἢ πρᾶγμα σημαῖνον, κοινῶς τε καὶ ἰδίως λεγόμενον. καὶ σῶμα μέν ἐστι τὸ τριχῇ διαστατόν, μῆκος

[DISCREPANTIA SCRIPTURAE] **1** ἐπιτομὴ νέα V || **2** τῶν H, τοῦ V || **3** οὔτε *pro* οὔτ' V || **5** καὶ *ante* τίσι *om.* V || **8** ὅρων *om.* V | τῶν ὀκτὼ τοῦ λόγου V, τῶν τοῦ λόγου ὀκτὼ H || **9** οὔτε *pro* οὔτ' V || **12** *ad verba quae sunt* καὶ εἰ μὲν *e. q. s. lemma hoc:* ὅρα τὸ αἴτιον τῆς ἀντωνυμίας καὶ τὸν ὅρον αὐτῆς *in margine add.* H || **15** ποιότητα (*ante* δηλοῦν) *ex* ποιότητι *corr.* H, ποιότητι V | *post* δηλοῦν *lemma hoc in textu:* ἀπόδειξις ἀντωνυμίας ἄλλη τοῦ ὀνόματος V, *in margine hoc:* ἀπόδειξις ὅτι ἀντωνυμία ἄλλο καὶ ὄνομα ἄλλο H

πλάτος βάθος· πρᾶγμα δὲ ὃ μόνῳ νῷ καὶ διανοίᾳ νοεῖται θεωρητικῶς λαμβανόμενον, ὡς λόγος εὐσέβεια. ἔτι ῥῆμά ἐστι μέρος λόγου ἄπτωτον ἐν ἰδίοις μετασχηματισμοῖς διαφόρους χρόνους δηλοῦν μετ' ἐνεργείας ἢ πάθους ἢ οὐδετέρου, ἔτι προσώπων σημαντικόν, ὅτε καὶ ψυχῆς διαθέσεις δηλοῖ. αὐτόθεν τὸ τῆς ἰδιότητος τούτων, λέγω ὀνόματος καὶ ῥήματος, μετασχὸν μετοχὴ ὠνόμασται. ἔτι ἣ δηλοῖ τὰς προσωπικὰς καὶ τοπικὰς σχέσεις ἀποπληροῦσα τὴν ἔλλειψιν τῶν ἀπολελειμμένων ῥημάτων καὶ ποιεῖ τὰς προθέσεις. πρόθεσις δ' ἐστὶ λέξις προτιθεμένη πάντων τῶν τοῦ λόγου μερῶν ἔν τε συνθέσει καὶ συντάξει. ἣ διορίζει τὴν σημασίαν τοῦ ῥήματος καὶ οὕτως ἔχομεν τὸ ἐπίρρημα· ἔστι γὰρ ἐπίρρημα μέρος λόγου ἄκλιτον, κατὰ ῥήματος λεγόμενον ἢ ἐπιλεγόμενον ῥήματι. καὶ διὰ τῆς προθέσεως αὐτῶν διορίζονται τὰ ῥήματα, ἀδιόριστα ὄντα τῇ οἰκείᾳ φωνῇ, ἀφ' οὗ καὶ τὸ ὄνομα εἰλήχει. ἣ συνδεῖ καὶ συμπλέκει κατὰ σύνταξιν τὰ μέρη τοῦ λόγου, καὶ οὕτως ἔφυ ὁ σύνδεσμος. οὐκ ἐκ τοῦ παρήκοντος ἄρα, φυσικῇ δέ τινι ἀνάγκῃ ὀκτὼ τὰ μέρη τοῦ λόγου καὶ οὔτε πλείω οὔτ' ἐλάττω. τούτων δὲ τὰ μὲν ἀπαιτοῦσι καὶ ⟨οὐκ⟩ ἀπαιτοῦνται, τὰ δὲ ἀπαιτοῦνται καὶ οὐκ ἀπαιτοῦσι, τὰ δὲ οὔτε ἀπαιτοῦσιν οὔτε ἀπαιτοῦνται, τὰ δὲ καὶ ἀπαιτοῦσι καὶ ἀπαιτοῦνται.

Κεφάλαιον δεύτερον·

διατί οὕτω τὰ μέρη τοῦ λόγου κατείλεκται.

Τέλειος δ' ἂν ὁ περὶ τοῦδε λόγος εἴη, εἰ θεωρήσαιμεν καὶ διατί οὕτω κατείλεκται. προτίθεται γὰρ τὸ ὄνομα τοῦ ῥήματος, ἐπεὶ ἡ ἐνέργεια καὶ τὸ πάθος ἐν σώματι θεωρεῖται· τὸ γὰρ διατιθέναι καὶ διατίθεσθαι σώματος ἴδιον, ᾧ ἡ τῶν ὀνομάτων θέσις ἐπίκειται. ἐξ ὧν ἡ ἰδιότης τοῦ ῥήματος, λέγω τὴν ἐνέργειαν καὶ τὸ πάθος· ταῦτα δὲ ἐν τῇ οὐσίᾳ, καὶ διὰ τοῦτο καὶ πρότερον αὐτῶν, πρότερον ἄρα δεῖ καὶ τὸ ὄνομα ἢ τὸ ῥῆμα τίθεσθαι. ἔτι τὸ ὄνομα δηλοῖ στάσιν, τὸ δὲ ῥῆμα κίνησιν· εἰ δὴ πρότερον στάσις κινήσεως, καὶ τὸ ὄνομα πρότερον ἄρα τοῦ ῥήματος. παρυφίσταται δὲ ἡ εὐθεῖα ἐν αὐτοῖς τοῖς ῥήμασι, κατὰ μὲν τὸ πρῶτον καὶ δεύτερον ὡρισμένη, κατὰ δὲ τὸ τρίτον ἀοριστουμένη, χωρὶς εἰ μὴ ἐξαίρετος ἐνέργεια ἂν γένοιτο, καθάπερ ἐπὶ τοῦ ἀστράπτει καὶ βροντᾷ.

'Αλλ' εἰ καὶ τὸ ἀναγινώσκειν κατ' ἐξαίρετον ὡς ἀνθρώπου λέγεται, πῶς

[DISCR. SCR.] 1 θεωρητῶς H || 5 ὀνόματα καὶ ῥήματα V | ὀνόμασται V || 6 τοπικὰς *scripsi :* κτητικὰς HV || 15 ⟨οὐκ⟩ *AHart, om.* HV || 16 *post alterum* ἀπαιτοῦνται *in* H *ita ut versum expleant addita sunt minio haec verba :* δρα τὴν αἰτίαν δι' ἣν τῶν τοῦ λόγου ἄλλων μερῶν καὶ τοῦ ῥήματος προτέθειται, *quod lemma ad eam quae sequitur sectionem pertinere apparet* || 27 ὡρισμένη] ὁριζομένη *Apollonius Dyscolus de constr. 12, 20 B (definitus Priscianus XVII 2, 14* = διωρισμένη *Maximus Planudes* π. συντ. *in Bachm. An. Graec. II 113, 14 et Theodosius Goettlingianus 18, 15)* || 29 κατ' ἐξαίρετον] κατ' ὡς ἐξαίρετον V, κατ' ἐξαίρετον *corr. ex* ὡς ἐξαίρετον H

οὐ συνεπινοεῖται ἡ εὐθεῖα; ἰστέον δ' οὖν, ὅτι τὸ ἓν τετραχῶς λέγεται, ἢ τῷ ἀριθμῷ ἢ τῷ εἴδει ἢ τῷ γένει ἢ τῇ ἀναλογίᾳ. τὰ δὲ κατ' ἐξαίρετον ἐνέργειαν γίνεται, ὅταν τὸ συνεπινοούμενον ἓν ᾗ τῷ ἀριθμῷ· ὁ δ' ἄνθρωπος οὐκ ἔστιν ἓν τῷ ἀριθμῷ, ἀλλὰ τῷ εἴδει· καὶ τὸ ἀναγινώσκειν οὐχ ἑνὸς ἀνθρώπου, ἀλλὰ τοῦ καθόλου· ὅθεν τὸ καθόλου μὲν συνεπινοηθήσεται, τὸ δὲ μερικὸν οὔ. οὐδὲν δέ, εἰ, ἐν ὅσοις λέγεται τὸ ἀναγινώσκειν, λέγεται καὶ τὸ τρίτον ἀναγινώσκειν· τῷ μὲν γὰρ πρώτῳ σύνεστι καὶ τὸ συνιστάμενον ὡρισμένον, ἐν δὲ τῷ τρίτῳ ἄπεστι καὶ ἀοριστίαν ἔχει.

Τοῦ τοίνυν ὀνόματος προϋφεστῶτος κατεκράτησεν οὕτω καὶ τἄλλα μέρη τοῦ λόγου καλεῖσθαι· εἰ δ' ἄρα τις καὶ λέγοι, ὅτι ἐκ τῆς κοινῆς ὀνομασίας τῶν λέξεων αὐτὸ τὴν ἁπάντων ἀπηνέγκατο ὀνομασίαν, καὶ κατὰ τοῦτο ἂν εἰληφέναι πρώτην θέσιν εἴποιμεν ὡς τὴν πρώτην τῶν λέξεων ἐπιδεξάμενον.

Ἀλλ' ἔδει μετὰ τὸ ὄνομα τὴν ἀντωνυμίαν τεθεῖσθαι, εἴπερ ἀντ' ὀνόματος παρείληπται· πᾶν δὲ τὸ δι' ἄλλο τι τεθειμένον καὶ τὴν αὐτὴν ἀποπληροῦν χρείαν ὁμότιμον τῷ δι' ὃ τίθεται· εἰ δὴ προτίθεται τὸ ὄνομα τοῦ ῥήματος, ἐχρῆν ἄρα καὶ τὴν ἀντωνυμίαν προτεθεῖσθαι.

Ἀλλ' ἐπεὶ τῶν ῥημάτων ἕνεκεν ἐπενοήθησαν αἱ ἀντωνυμίαι, πᾶν δέ, δι' ὃ ἄλλο ἐπιν⟨ο⟩εῖται, κρεῖττον τοῦ δι' ἐκεῖνο ἐπινοουμένου, ὡς κρεῖττον ἄρα τὸ ῥῆμα τῆς ἀντωνυμίας εἰκότως προετέθη.

Παντὸς οὖν ῥήματος ἀπαιτοῦντος πρὸ αὐτοῦ εὐθεῖαν ἐν τοῖς τρισὶ προσώποις· — τὸ δ' ὄνομα μόνον ἐν τρίτῳ ἀπαιτεῖται, τρίτου γὰρ προσώπου πάντα τὰ ὀνόματα· — ἐπενοήθη καὶ ἡ ἀντωνυμία, ἀποπληροῦσα τὸ τοῦ ὀνόματος ἐν πρώτῳ καὶ δευτέρῳ· ἐπενοήθη δὲ καὶ τρί⟨τ⟩α πρόσωπα τῶν ἀντωνυμιῶν εἰς ἀναπλήρωσιν τοῦ ὀνόματος· πάντων μὲν γὰρ ἀπόντων γινώσκεται τρί⟨τ⟩α πρόσωπα, πόσον δὲ οὔ, ἢ τίνι μᾶλλον ἢ ἧττον· τὸ δὲ οὗτος τρίτου προσώπου ὂν ἀντωνυμία σημαίνει ἐγγὺς εἶναι· τὸ δὲ ἐκεῖνος πορρωτέρω ἀπεῖναι δοκεῖ ἢ ὥστε ὁρᾶσθαι.

Ἔτι τὰ ῥήματα προσώπων τῶν κατ' εὐθεῖαν νοουμένων εἰσὶ παραστατικά, ἀπολύτως λεγόμενα, τρέχω γράφω, ἃ οὐ πρὸς διαστολὴν ἑτέρου προσώπου λέγεται. διὰ τοῦτο ἐπενοήθησαν αἱ ἀντωνυμίαι, εἰς διάκρισιν ἑτέρου προσώπου. διὰ τοῦτο καὶ αἱ εὐθεῖαι αὐτῶν οὐκ ἐγκλίνονται· οὐ γὰρ ἀνάγκη τὴν διαστολὴν τίθεσθαι, οἷον ὅταν εἴπω ἐγὼ πορεύομαι, οὐ δεῖ προσθεῖναι ἀλλ' οὐδεὶς ἄλλος· τοῦτο γὰρ δύναται ποιεῖν νοεῖσθαι ἡ ἀντωνυμία ἡ ἐγώ· αἱ δὲ πλάγιαι

[DISCR. SCR.] **3** ἓν ᾗ] ἓν ἡ H, ἐν ᾗ V || **6** τῷ] τῶ H, τὸ V || **9** τοῦ (*ante* τοίνυν) H, οὐ V | τἄλλα H, τ' ἄλλα V || **10** τίς H V | λέγει H V || **13** ἀντίθεσις *lemma in HV* || **14** τεθειμένον H, τιθέμενον V || **15** ἐχρὴν V || **17** λύσις τῆς ἀντιθέσεως H, λύσις V *lemmatis loco exhibent* || **20** ὅρα τὴν αἰτίαν, δι' ἣν ἐπινενόηται ἡ ἀντωνυμία *lemma in H*, δι' ἣν αἰτίαν ἐπινενόηται ἡ ἀντωνυμία *lemma in V* | αὑτοῦ HV || **21** γὰρ *om.* V || **25** ποσὸν V | τινὶ HV | οὗτοι H | τρίτον πρόσωπον ὂν ἀντωνυμίας HV || **26** ἀπεῖναι H, εἰπεῖν V | ἢ ὥστε] τέως HV || **28** *Ante* Ἔτι *lemma:* δευτέρα αἰτία *habent* HV || **32** νοῆσθαι V

ἐγκλίνονται καὶ δεῖ προ⟨σ⟩τίθεσθαι τὴν διάκρισιν, ὡς τὸ ὑμῖν μὲν θεοὶ δοῖεν, παῖδα δ' ἐμοὶ λύσατε φίλην ⟨*Hom. A 18 et 20*⟩. καὶ τοῦτο τὸ ἐξαίρετον ἰδίωμα τῆς ἀντωνυμίας, ἡ ἀντιδιαστολή. κλιτικὸν δ' ἐστὶ μόριον, ὃ τὴν ἰδίαν κομίζον ὀξεῖαν τὴν προκειμένην βαρεῖαν μεθίστησιν εἰς ὀξεῖαν, ᾧ ἡ δυνάμει ἢ φύσει ἑτέρα βαρεῖα ὑπέρκειται, δυνάμει μέν, ὡς τὸ δώματά μου· τῷ γὰρ μοῦ δυνάμει ἡ ὀξεῖα ὑπέρκειται, εἴγε ἡ περισπωμένη ἐξ ὀξείας καὶ βαρείας σύγκειται· φύσει δέ, καθάπερ Ἀρκεσίλαός τε ⟨Hom. B 495⟩. πῶς δὲ τῶν πλαγίων πτώσεων ἐγκλινομένων τῆς ἀντωνυμίας αἱ εὐθεῖαι οὐκ ἐγκλίνονται; ἢ ὥσπερ τὰ ῥήματα ἀπόλυτα ὄντα οὐκ εἰσὶ πρὸς διάκρισιν, ὅτε δὲ πρὸς ὀρθὴν τάσιν, πρὸς ἀντιδιαστολὴν λαμβάνονται. ὃ γοῦν ἔμελλε ποιεῖν ἀντωνυμία ἐγκλινομένη, ἐποίησε τὸ ῥῆμα ἀπολύτως κείμενον. καὶ διὰ τοῦτο οὐκ ἐγκλίνεται, ἵνα μὴ παρέλκουσα νομισθείη πλέον τῶν παραπληρωματικῶν, οἵτινες ⟨καὶ⟩ ἀναγκαίως παραλαμβάνονται.

Τρίτη ἡ μετοχή, ὡς μετὰ τὸ ἀρρενικὸν καὶ θηλυκὸν τὸ οὐδέτερον, καὶ οὐχ ἐγχωρεῖ μέρους ἄλλου παρέμπτωσις, ἐπεὶ μηδ' ἄλλου του μετέχει ἢ τοῖν εἰρημένοιν δυοῖν· δεήσει γὰρ τοσούτων μετασχεῖν, ὅσων ὑστέρα πεσεῖται. ὀνόματος μὴν καὶ ῥήματος μόνων μετέχει· εἰκότως ἄρα καὶ τρίτη μετ' αὐτὰ τέθειται. ὃν τοίνυν τρόπον ἀπαιτούντων τῶν ῥημάτων εὐθείας ἐν πρώτῳ καὶ δευτέρῳ καὶ μὴ ἐχόντων τῶν ὀνομάτων ἐπινενόηται ἡ ἀντωνυμία, τὸ μὲν ἐλλεῖπον ἀποπληροῦσα τῷ ὀνόματι, τὸ δὲ τέλειον τῷ ῥήματι, τὸν αὐτὸν τρόπον ἀπαιτούντων τῶν ὀνομάτων πτώσεις καὶ γένη καὶ μὴ ἐχόντων τῶν ῥημάτων ἐπινενόηται ἡ μετοχή, τὸ ⟨μὲν⟩ ἐλλεῖπον ἀποπληροῦσα τῷ ῥήματι, τὸ δὲ δέον τῷ ὀνόματι.

Ἔτι τὰ συνεκτικώτατα τοῦ λόγου μέρη ὄνομα καὶ ῥῆμα, ἅπερ ἀλλήλοις ἐπιπλεκόμενα τοὺς λόγους ἀποτελεῖ μηδενὸς δεομένους, ὡς Θέων τρέχει. ἐνίοτε δὲ προταττομένων τοῦ ῥήματος δύο ὀνομάτων ἢ ἐπαγομένων γίνεται λόγος αὖθις, ὡς δραστικὸς Ἀχιλλεὺς ἐπολέμησε καὶ ἐναλλάξ· δύο δὲ ῥήματα ἢ πρὸ ὀνόματος ἢ μετὰ τὸ ὄνομα συνδέσμου χωρὶς εὑρεῖν ἀδύνατον οὐδὲ συσταίη ποτ' ἂν εἰς ἀπαρτισμὸν λόγου, οἷον Ἀγαμέμνων ἐπολέμησεν ἐνίκησε· τὸ ἓν δὲ ῥῆμα μεταβὰν εἰς μετοχὴν ἄρτιον τὸν λόγον ἐποίησεν· Ἀγαμέμνων πολεμήσας ἐνίκησε.

Προτέθειται καὶ τὸ ἄρθρον τῆς ἀντωνυμίας, ἐπεὶ μετὰ τοῦ ὀνόματος τοῦτο τέτακται, οὗπερ ὑστερογενὴς αὕτη ὡς ἀντ' ἐκείνου λαμβανομένη.

Οὐ δεήσεται δὲ ἐπιστάσεως ἡ ἀντωνυμία τῇδε πίπτουσα, ὅπουπερ ἐκινδύνευε

[DISCR. SCR.] 1 μὲν] δὲ HV || 3 κλιτικὸν HV, ἐγκλιτικὸν *Herodian. I 551, 5 Lentz.* || 14 δι' ἣν αἰτίαν μετὰ τὸ ῥῆμα ἡ μετοχή *lemma in HV* | ἀρρενικὸν H, ἀρσενικὸν V || 15 μὴδ' H, μήδ' V || 16 τοσούτων] τόσων ἂν HV | ὅσον HV | ὀνόματι μὴν και ῥήματι μόνον H, ὀνόματι καὶ ῥήματι μόνον V || 23 δευτέρα αἰτία *lemmatis loco ante* Ἔτι *add. HV* | συνεχτικότατα V | ἀποπλεκόμενα HV || 24 δεόμενον HV || 29 μεταβᾶν HV || 31 δι' ἣν αἰτίαν προτέθειται τὸ ἄρθρον τῆς ἀντωνυμίας *ante* Προτέθειται *lemmatis loco add. HV* || 33 Ὅρα διότι ἐνταῦθα ἡ ἀντωνυμία *lemma in HV* | τῇδε] τῆσδε HV

μετὰ τὴν ὀνόματος θέσιν αὐτὴν παραλαμβάνεσθαι. ἴσως αἱ ἀναφορικαὶ ἀντωνυμίαι ἀντ' ὀνομάτων εἰσὶ τῶν σὺν ἄρθροις λεγομένων· οὐ γὰρ δή γε τὰ ὀνόματα ἐξ αὐτῶν ἀναφορὰν παρίστησι⟨ν⟩, εἰ μὴ συμπαραλάβοιεν τὸ ἄρθρον, οὗ ἡ ἀναφορά ἐστιν ἐξαίρετος. δυνάμει ἄρα ἀντὶ ἄρθρων παραλαμβάνονται. αὐτὰ δὴ τὰ ἄρθρα τῆς πρὸς τὰ ὀνόματα συναρτήσεως ἀποστάντα εἰς τὴν ὑποτεταγμένην ἀντωνυμίαν μεταπίπτει.

Ταῦτα μὲν ἃ καὶ κλιτά ἐστι καὶ ἀπόντα οὐκ ἐᾷ γενέσθαι λόγον. εἰ γὰρ καὶ τὸ ὄνομα καὶ ῥῆμα ποιεῖ λόγον, ἀλλὰ διὰ τὸ ὄνομα ἡ μετοχὴ καὶ ⟨διὰ⟩ τὸ ῥῆμα ἀντωνυμία ἐπινενόηται, δηλονότι λειπομένων ἐνίοτε τοῦ αὐτοτελοῦς τοῦ τε ὀνόματος καὶ ῥήματος. ἑξῆς δὲ τὰ ἄκλιτα τέθειται.

Πρόθεσις τοίνυν προτίθεται μὲν πάντων ⟨τῶν⟩ μερῶν τοῦ λόγου, οὐ τῇ φύσει δέ, ἀλλὰ τῇ τάξει. καὶ τοῦ μὲν ῥήματος ἐν συνθέσει, τοῦ δ' ὀνόματος καὶ ἐν παραθέσει. συγγενεστέρα ἄρα τῷ ὀνόματι προκειμένῳ τοῦ ῥήματος.

Τὸ δ' ἐπίρρημα ἐπιθετικὸν τοῦ ῥήματος ὑστέρου κειμένου τοῦ ὀνόματος. φύσει ἄρα προτέθειται μόνου τοῦ ἐπιρρήματος ἡ πρόθεσις, ὡς καὶ τὸ ὄνομα τοῦ ῥήματος.

Ὥσπερ δὲ σωμάτων ὑποκειμένων οἱ δεσμοὶ χρειώδεις, οὕτω καὶ ὁ σύνδεσμος, οὐδέν τι δυνάμενος παραστῆσαι τῆς τῶν λέξεων ὕλης χωρίς, τελευταῖος ἐπενήνεκται.

Ἐκπεράναντες ἤδη τὸν περὶ ὅρων λόγον καὶ διατί τοσαῦτα τὰ μέρη τοῦ λόγου, διατί τε ἕκαστον αὐτῶν καὶ οὕτω κατείλεκται, περὶ τῶν παρεπομένων εἰκὸς σκέψασθαι, ἅπερ ὁρισάμενοι τέλος ἃ κοινὰ τούτοις καὶ ἴδια ἐξετάσομεν, τέως δὲ φωνὰς οἷον ληπτέον ὡς ἐν εἰσαγωγῆς τρόπῳ, ἔνθα καὶ γένους καὶ εἴδους μνημονεύσομεν. ἔσται δὴ ἄρα τὸ εἶδος οὐχ ὑπὸ τὸ γένος ὡς παρὰ φιλοσόφοις· καὶ γὰρ πᾶσα λέξις ὑπὸ τὸ εἶδος ἀναχθήσεται· προτέτακται δὲ ὅμως κατὰ φιλοσόφους κἀνταῦθα τὸ γένος.

Κεφάλαιον τρίτον·
περὶ γενῶν.

Ἔστι δὴ γένος πτωτικῆς λέξεως χαρακτὴρ τὸ ἐν φωνῇ ἄρσεν ἢ θῆλυ σημαίνων ἢ οὐδέτερόν τι διακρίνων. παρὰ φιλοσόφοις οὐκ ἀπὸ φωνῆς, σημασίας δὲ τὰ γένη κρίνεται, καὶ τὸ π α ι δ ί ο ν ἄρρεν ἥγηνται, τὸ γ ύ ν α ι ο ν θῆλυ,

[DISCR. SCR.] **3** αὐτῶν HV | οὗ ἡ ἀναφορά ἐστιν ἐξαίρετος] οὐκ ἀναφορὰ τοὐξαίρετον HV || **4** παραλαμβάνεται HV || **6** μεταπίπτει] ὑποπίπτει HV || **11** περὶ προθέσεως *lemma praemittit* V || **14** ὅρα δι' ἣν αἰτίαν ὕστερον τὸ ἐπίρρημα τῆς προθέσεως *lemma in H,* περὶ ἐπιρρήματος *lemma in V* || **16** ὅρα διατί τελειοῦται ὁ σύνδεσμος *lemma in H,* περὶ συνδέσμων *lemma in V* || **18** Ὅρος τῶν παρεπομένων τοῖς μέρεσι τοῦ λόγου *lemma in H,* περὶ τῶν παρεπομένων τ. μ. τ. λ. *in V* | τὸν] τῶν HV | λόγων HV || **19** καὶ οὕτω H, καὶ οὔτε V | κατάλεκται V || **22** δὴ V, δὲ H | οὐχ' V, ουχ' H || **28** σημαῖνον *et* διακρῖνον *HV* || **29** γένει H, γένη *ex* γένει *factum* V

τὸν λίθον δ' οὐδέτερον. ἄρρεν δὲ παρὰ γραμματικοῖς, οὗ προτάσσεται κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν ἄρθρον τὸ ὁ· θῆλυ δέ, οὗ προτάσσεται τὸ ἡ· οὐδέτερον δέ, οὗ προτάσσεται τὸ τό· ὅπερ οὐκ ἐκ σημασίας ὅλως ὀνομάζεται, ἐκ δὲ τῆς τῶν ἑτέρων γενῶν ἀποφάσεως. ἀμέλει καὶ ἀποφατικὸν καὶ οὐδέτερον καλεῖται. οἷς προ<σ>τίθεται κοινὸν καὶ ἐπίκοινον, ἅπερ οὐ γένη καλεῖν χρή, ὀνόματα δέ· οὔτε γὰρ σημασίαν ἰδίαν ἔχουσι<ν> οὔτε ἄρθρον ἴδιον· τὸ γὰρ σημαινόμενον αὐτῶν ἢ ἄρρεν ἢ θῆλυ, ὡς δὲ καὶ ἡ φωνή. κοινὸν οὖν ὄνομα, ὃ ἄρθρῳ καὶ δηλουμένῳ ὑπόκειται τοῖς γένεσι<ν>· ἐπίκοινον δέ, ὃ μόνῳ τῷ σημαινομένῳ. εἰδέναι δὲ χρή, ὅτι ἐκεῖνα καλοῦμεν κοινά, ὅσα ἐξ αὐτῆς <τῆς> φύσεως πᾶσιν ἐγνωσμένα, εἴτε ἀρρενικὰ εἴτε θηλυκά, ὡς ἐπ' ἀνθρώπου ἵππου καὶ τῶν ὁμοίων· ἐπίκοινα δὲ τὰ μὴ ἐγνωσμένα ἐξ αὐτῆς <τῆς> φύσεως οἷά εἰσιν, ὡς ἀετός περιστερά καὶ τὰ ὅμοια. ἔτι τὰ ὀνόματα τετραχῶς προ[σ]φερόμεθα, ἢ κοινῶς ἢ κοινότατα ἢ ἰδίως ἢ ἰδιαίτατα. κοινῶς μέν, οἷον φιλόσοφος σώφρων· ἐπ' ἄρρενος γάρ, ἀλλὰ καὶ θήλεος λέγεται. κοινότατα <δέ>, οἷον ἄνθρωπος λέων· δι' ἑνὸς γὰρ πολύ τι πλῆθος παραλαμβάνει, ὃ πᾶν μετείληφε τοῦ ὀνόματος. ἰδίως τὸ ἐκ κοινοῦ χωριζόμενον ἕν, Ὅμηρος Πλάτων. ἰδιαίτατα δέ, ὡς τὰ ὁμώνυμα τῶν ὀνομάτων.

<Κεφάλαιον τέταρτον>· περὶ εἴδους.

Μετὰ τὸ γένος κείσθω τὸ εἶδος, εἰ καὶ πρότερον τετάχθαι ἔδει. ἔστι δὲ εἶδος φωνῆς εἰκὼν τὴν ἐν αὐτῇ δηλοῦσα πρώτην ἢ δευτέραν θέσιν. δύο τοίνυν αὐτοῦ εἴδη, τό τε πρωτότυπον καὶ παράγωγον. πρωτότυπον μὲν τὸ πρωτόθετον ὑπάρχον καὶ μὴ ἔχον τινὰ προκάταρξιν ἢ αἰτίαν τῆς ἑαυτοῦ γενέσεως, οἷον πᾶς. οὕτω δὲ ἐκλήθη τῶν παλαιῶν ἐκ κοιλάνσεως καὶ ξυσμοῦ τοὺς τύπους ποιούντων. τύπος γὰρ ὁ κατ' εἰσοχὴν καὶ ἐξοχὴν γινόμενος χαρακτήρ. ἐν γὰρ λίθοις πρότερον τὰ τῶν πραγμάτων πρωτόθετα ὀνόματα ἐνεχάραττον. εἰκότως δὲ τὸ πρότερον τεθὲν καὶ ἐγχαραχθὲν τοῖς πράγμασιν ὄνομα πρωτότυπον λέγεται. τοῦτο δὲ διχῶς· οὐ

[DISCR. SCR.] 2 εὐθεῖαν V | ὁ] ō HV | ἡ] ῆ HV | *Verbis quae sunt* οὐδέτερον δέ *e. q. s.* ὅρος οὐδετέρου *lemmatis loco praemittit H* || 3 τό] τō HV || 4 ἑτέρων] δευτέρων HV || 9 *et* 11 <τῆς> *cum Choerob. dict. 6, 11 et 14* || 10 ἀρρενικὸν εἴτε θηλυκὸν V || 14 *Hinc expleas lacunam quae est in schol. Stephani ad Dionys. 845, 23* || 17 *Hinc corrigendum schol. Stephani ad Dionys. 845, 29* || 18 κεφάλαιον τέταρτον *om. HV* || 19 περὶ εἴδους *om. H* || 20 *sq. Hinc corrigatur Zonar. person. lex. II 1613T* || 21 αὐτῇ] αὐτῷ HV || 23 οἷον πᾶς H, ὡς πᾶς V, ὡς τὸ πᾶν *schol. Porphyrii ad Dionys. 847, 28,* οἷον πᾶς, ὁ πᾶς *Choerob. epim. in Psalt. 49, 16* | οὕτω H, οὔτε V

τῆς γενέσεως οὐδὲν προκατῆρξεν, ὡς τὸ πᾶς· καὶ ὃ ⟨μὴ⟩ παρῆκται μὲν ἀπό τινος, ἐγένετο δὲ ἑτέρου ἀρχή, ὡς γῆ, ἀφ' ἧς γήϊνος· καὶ τοῦτο δὲ παράγωγον, τὸ ἀπό τινος παρηγμένον. ἀλλ' εἴδη μὲν πρωτοτύπων ἄπειρα, ὧν οὐκ ἔστιν ἐπιστήμη. παραγώγων δὲ εἴδη ἑπτά, ἃ καὶ λελέξεται. διχῇ δὲ τοῦ εἴδους λεγομένου τὸ μὲν περὶ φωνὴν ἐπιδιῄρηται αὖθις εἰς πρωτότυπον καὶ παράγωγον. τὸ δὲ εἰς ἑπτὰ μεμέρισται. διαίρεσις μὲν γὰρ ἡ εἰς δύο τοὐλάχιστον τομή, τριῶν δὲ μέχρι, σπανιάκις τεσσάρων. ἡ δ' εἰς πλείονα τομὴ ἀπαρίθμησις, ἀλλ' οὐ διαίρεσις. τὸ δὲ περὶ σημασίαν εἰς κύριον καὶ προσηγορικὸν διῃρέθη, ἅπερ ἀπογεν⟨ν⟩ῶσι τό τε ἐπίθετον, πρός τι ἔχον καὶ τὰ ἑξῆς. ἔστι δὲ γνώρισμα ἐκ τοῦ ὁρισμοῦ. ἔστι δὴ κύριον τὸ ἐπὶ τῶν ἀτόμων λεγόμενον, οἷον Σωκράτης Πλάτων, ὡς τοῦ κοινοῦ τῆς οὐσίας χωρίζον καὶ σημαῖνον τὸ ἄτομον. προσηγορικὸν δὲ τὸ κοινὴν οὐσίαν σημαῖνον, ὡς ἵππος. ἐπίθετον δὲ τὸ ἐπὶ κυρίων ἢ προσηγορικῶν δυνάμενον λέγεσθαι, ἀλλ' οὐ χωρίς, οἷον ἀνδρεῖος ταχύς. εἴληπται δὲ τὰ ἐπίθετα τριχῶς· ἀπὸ τῶν ἐνεργειῶν τῆς ψυχῆς ἢ τῶν συμβεβηκότων αὐτῇ, ὡς σώφρων ἀκόλαστος θεωρητικός· καὶ ἀπὸ τῶν ἐνεργειῶν τοῦ σώματος ἢ τῶν συμβεβηκότων αὐτῷ, οἷον μέλας πύκτης· καὶ ἀπὸ τῶν ἐκτός, οἷον πλούσιος πένης· διὸ καὶ ἐπίθετον καλεῖται, ὡς ἐπιτιθέμενον οἷς εἴπομεν, καὶ τρίτον τῇ θέσει τέτακται.

Ἐγκωμίου δὲ χάριν ἢ ψόγου λαμβάνεται τὰ ἐπίθετα. διαφέρει οὖν τοῦ προσηγορικοῦ, ὅτι τὸ μὲν αὐτοτελές, οἷον ἄνθρωπος· τὸ δὲ τῆς τοῦ ἑτέρου δεόμενον ἐπαγωγῆς, ὡς ἀγαθός. ὅσα δὴ τῶν ἐπιθέτων τὴν αἰτίαν ἐξ ἡμῶν ἔχει ⟨τοῦ⟩ λέγεσθαι, ταῦτα ἐπαίνου ἢ ψόγου σημαντικά· τὰ δὲ μὴ οὕτως ἔχοντα μέσα, ὡς πένης ὑγιὴς λελωβημένος. ταῦτα δὲ ἀπὸ τῶν ἐκτός ἐστιν ὡς ἐκ τύχης συμβαίνοντα, ἃ μήτ' ἔπαινον ἔχει μήτε ψόγον· οὐ γὰρ ἐπαινοῦμεν τὸν ὑγιᾶ, ἀλλὰ τῆς εὐτυχίας ⟨μακαρίζομεν, οὐδὲ ψέγομεν τὸν πένητα, ἀλλὰ τῆς ἀτυχίας⟩ οἰκτείρομεν. ἐπαινετὰ δὲ καὶ ψεκτά, ἃ τοῦ μὲν δοκεῖν εἶναι τύχη⟨ς⟩ ἔργον ἀπήλλακται, τῆς δ' αἰτίας τὴν ἀναφορὰν εἰς ἡμᾶς αὐτοὺς ἔχει. λαμβάνεται δὲ τὸ ἐπίθετον παρὰ ποιηταῖς ἀπὸ τῶν μάλιστα συνεχῶν ⟨καὶ⟩ κυρίων τρόπων.

Προφέρεται δὲ τὰ μὲν σὺν ἄρθροις, ἡ Ἰωνικὴ στολὴ ἐπιχωριάζει, ἢ ἡ στολὴ ἡ Ἰωνική· τοῦ γὰρ ἐπιθέτου προηγουμένου, ἓν ἀρκεῖ τοῖς δυσὶν ἄρθρον· τοῦ προσηγορικοῦ δέ, ἄρθρου δεῖ ἑκατέρῳ διὰ τὴν ἐλλείπουσαν ἔξωθεν ὑπαρκτικὴν μετοχήν· τὸ γὰρ ἐντελὲς ἦν ἡ στολὴ ἡ οὖσα Ἰωνική. δίχα δὲ ἄρθρου, οἷον ἡ θάλαττα κυματώδης ἐστί⟨ν⟩, ἤγουν κυμαίνει· ᾧ μὴ ἐπίκειται ἄρθρον· οὐδὲ τῷ ἀναλυθέντι ἐξ αὐτοῦ ἄρα ἐπικείσεται ἄρθρον.

[DISCR. SCR.] **11** προσηγορικὸν H, προσηγορία V || **12** ἐπὶ *Dionysius Thrax 34, 3 Uhlig.* (*cf. editoris ad hunc locum adnotationes*), ἐκ HV || **19** τί διαφέρει ἐπίθετον κυρίου καὶ προσηγορικοῦ *lemma praefigunt HV* | τοῦ προσηγορικοῦ *scripsi coll. schol. Stephani ad Dionys. 864, 29,* τὰ προσηγορικὰ HV || **24** ὑγιὰ H, ὑγιῆ V || **28** τρόπων *Stephanus in schol. Dionys. 865, 5,* προσώπων HV || **29** πότε μετὰ ἄρθρου προφέρεται τὰ ἐπίθετα καὶ πότε χωρὶς ἄρθρου *lemma in HV*

Ἑνικοῦ προσηγορικοῦ καὶ ἐπιθέτου ὄντος τὸ μὲν ἐπίθετον, οἵου ἂν ᾖ γένους, εἰς οὐδέτερον Ἀττικοὶ τρέπουσι τὴν πτῶσιν τηροῦντες· τοῦ προσηγορικοῦ δὲ τὸ μὲν γένος τηροῦσιν· — οὐδὲ γὰρ ἀμεῖψαι δυνατόν, ἐπεὶ τὰ πλεῖστα τῶν προσηγορικῶν μονογενῆ· — τὴν δὲ πτῶσιν ἀμείβουσι, γενικὴν ἀεὶ ποιοῦντες, οἷον ἀντὶ τοῦ ἡ Ἰωνικὴ στολή τὸ Ἰωνικὸν τῆς στολῆς, τὸ εἶδος ἔξωθεν λαμβάνοντες, ὥσπερ ἀλλαχοῦ ἄλλο τι.

Εἰς δὲ γενικὴν τρέπουσι τὸ προσηγορικὸν διὰ τὸ κτητικὴν εἶναι. κτῆμα δὲ στολῆς τὸ Ἰωνικὸν εἶδος εἶναι. τοῦτο δὲ ποιοῦσιν ἐπὶ πασῶν τῶν πτώσεων. πληθυντικοῦ δὲ προσηγορικοῦ καὶ ἐπιθέτου ὄντος ἔστι μὲν οὐ τὸ αὐτὸ ποιοῦσιν ὡς ἐν τοῖς ἑνικοῖς, οἷον ἀντὶ τοῦ οἱ πλείονες τῶν ἀνθρώπων τὸ πλεῖον τῶν ἀνθρώπων, ἔνθα, κἂν ἑνικὸν ᾖ, τὸ ἐπίθετον πλῆθος σημαίνει, μὴ μέντοι τοιοῦτον πλῆθος, οἷον τὸ πᾶς· τοῦτο δὲ οὔτε ἑνικῶς οὔτε πολλῷ μᾶλλον πληθυντικῶς εἰπεῖν δυνάμεθα· τὸ γὰρ πᾶς τῶν ἀνθρώπων ἢ πάντες τῶν ἀνθρώπων ταὐτό.

Ἔστι δὲ οὐ τὸ μὲν ἐπίθετον κατὰ πάντα τηροῦσιν ἀκίνητον, τὸ δὲ προσηγορικὸν εἰς γενικὴν τρέπουσιν, οἷον ἀντὶ τοῦ οἱ χαρίεντες ἄνθρωποι οἱ χαρίεντες τῶν ἀνθρώπων, λαμβανομένης ἔξωθεν τῆς ἀπό, καὶ τοῦτο γίνεται ἐπὶ πασῶν ⟨τῶν⟩ πτώσεων πλὴν τῆς γενικῆς, εἴτε χαρίεντες εἴποιμεν εἴτε χαρίεσιν εἴτε χαρίεντας, ἐπάγοντες τῶν ἀνθρώπων· οὐχὶ καὶ τῶν χαριέντων τῶν ἀνθρώπων διὰ τὴν ἐπαλληλίαν τῶν δύο γενικῶν καὶ τὴν ἐκ τῶν δύο ἄρθρων ἀσάφειαν· ἑνὶ δὲ ἄρθρῳ λέγομεν τῶν χαριέντων ἀνθρώπων, ὡς καὶ τὸ οἱ χαρίεντες ἄνθρωποι. τὸ κῦμα τοῦ ποταμοῦ καὶ τὸ ῥεῦμα ⟨τοῦ ποταμοῦ⟩ λέγομεν ὡς κτήματα τοῦ ποταμοῦ· οὐχὶ δὲ καὶ τὸν ποταμὸν τοῦ κύματος ἢ τοῦ ῥεύματος· οὐ γὰρ κτῆμα ὁ ποταμός τινος ἐκείνων, ἀλλήλων μέντοι κτήματα, τό τε κῦμα τοῦ ῥεύματος καὶ τὸ ῥεῦμα τοῦ κύματος.

Ἔτι τῶν ἐπιθέτων τὰς συνηρημένας αἰτιατικὰς δίχα τοῦ ν̄ Ἀττικοί τε καὶ Ἕλληνες πάντες προφέρουσι⟨ν⟩, οἷον ἀληθῆ καὶ ψευδῆ· τὰς δὲ τῶν κυρίων μόνον Ἀττικοὶ καὶ διὰ τοῦ ν̄, ⟨τὸν Δημοσθένην καὶ τὸν Ἀριστοφάνην⟩· ἐκείνας μὲν γὰρ [οὐχ] εἴασαν ὡς ἅπασι γνωρίμους ἀπαραποιήτους·

[DISCR. SCR.] 1 πότε τὸ ἐπίθετον, οἵου ἂν ᾖ (ἢ H, εἴη V) γένους, εἰς οὐδέτερον τρέπεται *lemma in* HV || 2 ἀττικὸν HV || 7 διατί τὸ προσηγορικὸν εἰς γενικὴν τρέπουσιν *lemma in HV* | κτητικὴν *Planudes* περὶ γραμματικῆς διάλογος *in Bachm. An. Graec. II 32,18,* κτητικὸν HV || 10 τῶν ἀνθρώπων HV, ἄνθρωποι *Planudes l. c. 32,22* || 12 μέτοι V | τοιούτου πλήθους HV || 13 πάντες] παντὶ HV || 15 πότε ἀκινήτου τοῦ ἐπιθέτου μένοντος τὸ προσηγορικὸν μεταπίπτει εἰς γενικὴν *lemma in HV* | τηροῦσιν *Planudes l. c. 32,30,* τηροῦσα HV || 17 ἀπ̄ο HV || 28 κτήματα H, κτῆμα V || 30 ἀλλήλοιν V | κτήματα H, κτῆμα V || 32 ὅτι τῶν μὲν κυρίων τὰς αἰτιατικὰς μετὰ τοῦ ν̄, τῶν δὲ ἐπιθέτων χωρὶς τοῦ ν̄ λέγουσιν ἀττικῶς (χωρὶς ἀττικῶς λέγουσιν [*om.* τοῦ ν̄] H) *lemma in HV* || 34 καὶ διὰ *Planudes l. c. 33, 15 sq.,* μὴ διὰ HV || 35 ἐκείνας *Planudes l. c. 33, 17,* ἐκείνους HV

<τὰ δὲ κύρια, ἐπειδήπερ ἀνθρώπων ἐστὶν ὀνόματα,> ὡς αὐτοῖς ὄντων γνωρίμων καὶ μὴ πᾶσιν Ἕλλησιν, καὶ τὸν κανόνα φυλάττουσι τὸν λέγοντα τὴν ἰσοσυλλαβοῦσαν τῇ εὐθείᾳ αἰτιατικὴν διὰ τοῦ ν̄ δεῖν ἐκφέρεσθαι.

Ἔτι τὰ ἐπίθετα, εἰ μὲν πᾶσιν ἢ τοῖς τυχοῦσι προσηγορικοῖς ἢ κυρίοις ἐπιφέρονται, τριγενῶς προφέρονται, ὡς καλός καλή καλόν· δύναται γὰρ καὶ ἵππου καὶ βοὸς καὶ λίθου καί ξύλου εἶναι ἐπίθετον. εἰ δ' ἑνὶ μόνον ἀφώρισται προσηγορικῷ ἢ κυρίῳ, μονογενῶς· προσηγορικῷ μέν, οἷον τρήρωνα πέλειαν <*Hom.* X *140*>, ὅπερ ἀφώρισται μόνῃ τῇ πελείᾳ καὶ θηλυκῶς ἀεὶ προφέρεται. ἢ πτῶκα λαγωόν <*Hom.* X *310*>, ὅπερ ἀφώρισται μόνῳ λαγῷ, προφέρεται δὲ ἀεὶ ἀρρενικῶς. κυρίῳ δέ, ὡς τὸ γλαυκῶπις Ἀθήνη καὶ νεφεληγερέτα Ζεύς.

Ἔτι τὰ ἐπίθετα χωρὶς ἄρθρων μετὰ ὑπαρκτικοῦ προφερόμενα ἐπὶ πάσης πτώσεως καὶ ἐπὶ παντὸς ἀριθμοῦ πληθυντικῇ γενικῇ μετὰ ἄρθρου προφέρεσθαι δύναται, οἷον ἀντὶ τοῦ Αἰσχίνης σοφὸς ἦν Αἰσχίνης τῶν σοφῶν ἦν, ἤγουν εἷς ἀπὸ τῶν σοφῶν, καὶ ἀντὶ τοῦ Αἰσχίνου σοφοῦ ὄντος Αἰσχίνου τῶν σοφῶν ὄντος. ὁμοίως δὲ καὶ τὰ ῥήματα ἀναλύοντες πρότερον εἴς τε ὄνομα ἐπίθετον καὶ ὑπαρκτικὸν ῥῆμα, εἶτα τῇ αὐτῇ συντάξει δυνάμεθα χρῆσθαι, οἷον οἱ Λύκιοι σύμμαχοι τοῖς Τρωσὶν ἦσαν, εἶθ' ὅτι οἱ Λύκιοι τῶν συμμάχων ἢ μετοχικῶς τῶν συμμαχούντων τοῖς Τρωσὶν ἦσαν. τοῦτο δὲ ποιοῦμεν ἐπὶ τῶν μὴ καθ' ὑπεροχήν, ἀλλὰ μέσως ὄντων τοῦτο, ὅπερ αὐτοὺς διὰ τοῦ ἐπιθέτου καλοῦμεν· τὸ γὰρ λέγειν Ὅμηρος τῶν ποιητῶν ἦν οὐ πάντῃ σεμνὸν εἶναι δοκεῖ.

Πρός τι ἔχον ἐστὶ<ν>, ὃ πρὸς ἕτερον ἔχει σχέσιν καὶ αὐτὸ ὅπερ ἐστὶν ἑτέρου εἶναι λέγεται· πατρός γὰρ ἢ υἱοῦ λεγομένου συννοεῖται θάτερον καὶ ἀναιρουμένου συναναιρεῖται. ἀνόητον δὲ καὶ ἄμφω ἐπάγειν, ὅπου γε μηδενὸς ἐπαγομένου ἢ τοῦ υἱός ἢ τοῦ πατήρ καὶ οὕτω τὸ οἰκεῖον ὁ λόγος σώζει, ἐπεὶ κτῆμα οὐκ ἔσται, ἀλλ' οὐδὲ δοῦλος ἢ φίλος, ὅτι μηδὲν οἰκειότερον πατρὶ ἢ παῖς. δοῦλον δ' ἂν ἢ φίλον οὐδέποτε νοήσαιμι. συντάσσεται δὲ γενικῇ, ἐκ περιουσίας

[DISCR. SCR.] 2 καὶ H, καὶ ἐπ' αὐτοῖς μόνοις V || 3 εὐθεία HV || 4 πότε τριγενῶς λαμβάνεται τὰ ἐπίθετα καὶ πότε μονογενῶς *lemma in HV* | ἢ κυρίοις *om. V* || 5 προσφέρονται V || 7 πελείαν HV || 8 προσφέρεται V || 10 κυρίῳ] κυρίω H, κυρίως V || 17 αὐτῇ] αὐτοῦ HV || 23 ἔχει V, ἔχον H (πρός τι ἔχον ἐστὶ τὸ πρὸς ἕτερον ἔχον σχέσιν *Choerob. epim. in Psalt. 7,7 ; cf. Aristot. categ. cap. VII et Zonar. person. lex. II 1584 T*) || 24 ἢ υἱοῦ H, ἢ καὶ υἱοῦ V | συννοεῖται H, συναιρεῖτε V; *cf. Stephani scholion in Dionys. 866,26 sqq., qui locus hunc in modum supplendus videtur:* Διαφέρει τὸ πρός τι τοῦ ὡς πρός τι ἔχοντος, ὅτι τὸ μὲν πρός τι ἔχον συνιστάμενον συνίστησι <καὶ ἀναιρούμενον συναναιρεῖ τὸ ἕτερον· συνιστάμενος γὰρ ὁ πατὴρ> παρεισάγει καὶ τὸν υἱὸν καὶ πάλιν ἀναιρούμενος ὁ πατὴρ συναναιρεῖ καὶ τὸν υἱόν; *cf. etiam Niceph. Blemmid. epit. log. pag. 152 sq. (ed. Aug. Vindelic. 1605) et Ioann. Damasc. dialect. pag. 52 sq. (ed. Paris. 1712)*

καὶ δοτικῇ. τὸ μέντοι ἴσος ἴκελος ὅμοιος ἀτάλαντος δοτικῇ μόνῃ· τοῦτο γάρ ἐστι πρός τι, ὃ πρὸς ἑτέρου σχέσιν νοεῖται, οὗ ὑποστελλομένου μηδ' αὐτὸ ὑπάρχει, ὡς καὶ ἐφ' ὧν εἰρήσεται τῶν συγκριτικῶν.

Ὡς πρός τι δὲ ἔχον τὸ πρὸς ἕτερον μὲν λεγόμενον, κατ' ἐναντιότητα δὲ φθαρτικὴν καὶ συνεπινοούμενον μέν, οὐ συναναιροῦν ⟨δέ⟩· τὸ γὰρ ὡς τὴν κατά τι ὁμοίωσιν τῷ πρός τι σημαίνει, ὡς δοκεῖν συνυπακούεσθαι, ἀλλ' οὐ συναναιρεῖν, ὡς νὺξ καὶ ἡμέρα· ἐπεὶ μᾶλλον ἂν εἴη φῶς σκότου προσδοκωμένου ἢ ἑτέρως. ἔοικε μὲν οὖν τὸ ὡς πρός τι τῷ πρός τι ὡς πρὸς ἕτερον ἔχον σχέσιν· τῆς δὲ ταυτότητος ἐκπίπτει, ὡς μὴ συνιστάμενον, εἰ μὴ ἕτερον ἐκσταίη, καὶ ὅτι τῷ συνυφισταμένῳ ἀντικείμενον τὸ ἀντικείμενον ἐναντίως, ὡς δεσπότης δοῦλος, οὐδὲ ἔσται θάτερον, εἰ μὴ συνέστη ἑκάτερον· ὑγεία δὲ οὐ συνυφίσταται νόσῳ, ὡς δὲ καὶ ἡ νόσος ἐναλλάξ, καὶ τῆς ἑτέρας μεταπιπτούσης καὶ διαλυομένης ἐπεισπίπτει ἡ ἑτέρα.

Ὁμώνυμά ἐστιν, ὧν ὄνομα μόνον κοινόν, ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος.

Συνώνυμα δέ, ὧν τό τε ὄνομα κοινὸν καὶ ὁ ⟨κατὰ τοὔνομα⟩ λόγος τῆς οὐσίας ὁ αὐτός.

Ἀναγκαίως δὲ ⟨εἴρηται⟩ τὸ ,κατὰ τοὔνομα'· ⟨καὶ γὰρ εἰ μή τις οὕτως ἀποδοίη,⟩ καὶ ⟨τὰ ὁμώνυμα⟩ συνώνυμα εὑρεθήσεται καὶ τὰ συνώνυμα ὁμώνυμα· ⟨ἀλλὰ καὶ τὸ ,τῆς οὐσίας'· ὁ γὰρ λόγος λέγεται⟩ καὶ ἐπὶ τῶν ἄλλων. κείσθωσαν γὰρ δύο Αἴαντες· ὁμώνυμοι τοίνυν· ἀλλὰ καὶ ὡς ἄνθρωποι ἄμφω συνώνυμοι· ἀλλὰ κατὰ τὸ Αἴας ⟨ὄνομα⟩ ⟨ὁ⟩ λόγος ⟨τῆς οὐσίας⟩ ζητεῖται· οὐκ εἰσὶ τοίνυν συνώνυμα· ὁ μὲν γὰρ Λοκρός, Ἰλέως υἱὸς καὶ ταχὺς πόδας, ὁ δ' ἐκ Σαλαμῖνος, Τελαμῶνος υἱός, μονομαχήσας Ἕκτορι.

Δεῖ δὲ ζητεῖν ἐπὶ τῶν ὁμωνύμων, εἰ τῶν ὁμωνύμων ἐστί, περὶ οὗ ὁ λόγος, καὶ κατὰ πόσων σημαινομένων φέρεται, καὶ περὶ ποίου τῶν σημαινομένων ὁ λόγος.

β α

[DISCR. SCR.] 1 καὶ δοτικῆς HV | ἴκελος ἴσος (*h. e.* ἴσος ἴκελος) H, ἴσος ἴκελος V | μόνῃ] μόνον H, μόνω V || 2 ἑτέρου HV, ἑτέραν *Stephani scholion in Dionys. 866, 23* | οὐ (οἷον V) ὑποστελλομένου μηδ' αὐτὸ ὑπάρχειν ὡς ἐφ' ὧν εἴρηται καὶ τῶν συγκριτικῶν HV || 4 *cf. Choerob. epim. in Psalt. 7, 15, ubi sic legendum est:* Τὸ ὡς πρός τι ἔχον δέ ἐστι τὸ .... κατ' ἐναντιότητα δὲ φθαρτικήν || 5 ὦς HV || 6 τῷ] τῶ H, τὸ V || 7 προσδοκωμένου H, προσδ. V || 10 δεσπότης V, δεσπότου H || 11 εἰ μή] ὡρμὴ V, ὡρμὴ H | νόσῳ] νόσου HV || 12 νόσος] νόησις HV | ἐν ἀλλάξ HV || 14 ὧν H, ᾧ V || 15 *sq.* ὁ *ante* ⟨κατὰ τοὔνομα⟩ *et ante* αὐτός *om. V, habet H* || 17 *cf. Niceph. Blemmid. epit. log. pag. 43 sq., schol. Aristot. categ. pag. 41 sq. B, Zonar.-person. lex. II 1449 et 1690, Ioann. Damasc. dialect. pag. 38, Aristot. categ. c. 1 init., alios* | σημείωσαι τοῦτο V, ὅ τι βούλεται τὸ κατοὔνομα (*h. e.* κατὰ τοὔνομα) *H exhibet lemma* || 22 λωκρός H | σαλαμίνος HV || 23 Τελαμώνου HV | μονομαχῆσαι V || 25 φέρεται H (*et Niceph. Blemmid. l. c. pag. 44 et Ioann. Damasc. l. c. pag. 20 et 38* [*cf. David. ad Aristot. categ. pag. 41, 22 sqq.*]), φθέγγεται V

Ἔτι ἐπὶ τῶν ὁμωνύμων εἰκὸς σώζεσθαι ἀπαράλλακτα μὴ μόνον κατὰ τὴν κατάληξιν, ἀλλὰ καὶ πνεῦμα· τὸ γὰρ οἶος ὁ μόνος καὶ ⟨οἷος⟩ ὁποῖος τῆς ὁμωνυμίας χωρίζουσι τῶν πνευμάτων αἱ διαφοραί. κατὰ τόνον· τὸ γὰρ Ἄργος καὶ ἀργός αὖθις οἱ τόνοι. κατὰ πτῶσιν, ὅτι τὸ ἐλάτης γενικὴ ἐπὶ δένδρου λαμβανόμενον καὶ εὐθεῖα ἐπὶ ἡνιόχου οὐχ ὁμώνυμα. κατὰ γραφήν, ὡς τὸ καινόν καὶ κενόν. κατὰ ⟨ἀριθμόν⟩, ὡς τὸ εἶπον ἑνικῶς, ἀλλὰ καὶ πληθυντικῶς. κατὰ γένος, ὡς τὸ φάρος· ἀρρενικῶς μὲν τὸ κτίσμα, θηλυκῶς δὲ τὴν πόλιν, οὐδετέρως δὲ τὸ ἱμάτιον. κατὰ μέρος λόγου, ὡς ἔχεις, ῥῆμά τε σημαῖνον καὶ γένος ὄφεων. ὡς δὲ καὶ ἅρμα, παρὰ Ἕλλησι δίφρον σημαῖνον, ῥωμαϊκῶς δὲ τὰ ὅπλα. ταῦτα πάντα συνελθόντα τὰ ὁμώνυμα χαρακτηρίζει.

Φερώνυμον δ' ἐστὶ τὸ ἀπό τινος συμβεβηκότος τεθέν, ὡς Μεγαπένθης ὁ Μενελάου υἱός· μέγα γὰρ τότε πένθος κατέσχε τὴν Ἑλλάδα διὰ τὴν ἁρπαγὴν τῆς Ἑλένης, ὅτε οὗτος γεγένηται. οὐδὲν δὲ ἧττον κἀκεῖνα φερώνυμα λέγεται, ὅσα ὡς ἔτυχε λέγεται ὠνομασμένα, ὕστερον δὲ ἀπὸ τύχης τινὸς εὑρίσκεται ἁρμόδια, ὡς Δημοσθένης.

Ἐπώνυμον δὲ τὸ μεθ' ἑτέρου κυρίου καθ' ἑνὸς ὑποκειμένου λεγόμενον ἐπιθετικόν, κυρίου τάξιν ἔχον καὶ δυνάμενον ἀπὸ τῆς τοῦ συμβεβηκότος δυνάμεως καθ' αὑτὸ δηλῶσαι τὸ κύριον, ὡς ὑψιβρεμέτης, φανερὸν ὅτι ὁ Ζεύς· καὶ γλαυκῶπις, δῆλον ⟨ὅτι⟩ ἡ Ἀθηνᾶ, καὶ τὰ ὅμοια. γνώρισμα δὲ τούτου τὸ αὐτὸ μὲν μὴ εἶναι κύριον, ἀλλ' ἐπίθετον μόνον ἐκείνου, καθ' οὗ λέγεται, καὶ σχεδὸν εἶναι κύριον, ὅτι καθ' ἑνὸς μόνου λέγεται ἀνθρώπου ἢ θεοῦ· τὸ γὰρ Φοῖβος οὐκ ἄλλου ἐπίθετον ἢ Ἀπόλλωνος, ὡς καὶ τὸ ἐνοσίχθων Ποσειδῶνος· εἰ γὰρ κύρια ἦν, διώνυμα ἂν ἐκαλεῖτο.

Διώνυμον γὰρ τὸ ἓν ὂν ὑποκείμενον διχῶς καλεῖσθαι ⟨δυνάμενον⟩· εἰ δὲ πλειόνως, πολυώνυμον, ὡς ἄορ σπάθη φάσγανον.

Ἐπώνυμον τοίνυν λέγεται, ὅτι ἐπ' ὀνόματος κυρίου τίθεται.

Ἔστι παρὰ ταῦτα ἑτερώνυμα λεγόμενα, ὧν τό τε ὄνομα ἕτερον, ὡς ἀνάβασις

[DISCR. SCR.] 1 ὅρα τὰ χαρακτηριστικὰ τοῦ ὁμωνύμου *lemma in HV* | ἐπὶ δὲ τῶν ὁμωνύμων σώζεσθαι (*scil.* χρὴ) κατὰ πάντα τὸ ὄνομα ἀπαράλλακτον *Niceph. Blemmid. l. c. pag. 46* || **2** οἶος] οἷος HV || **4** ἐλλάτης H, ἐλάττης V || **7** φάρρος H | ἀρρενικὸν *vel* ἀρσενικὸν *pro* ἐνεργητικὸν *corrigendum est in epim. Hom. apud Cram. AO. I 424, 27* | κτῖσμα V || **8** ῥῆμα τὲ H, ῥῆμα τε V || **9** *scribendum fuit excerptori sic:* κατὰ συνήθειαν, ὡς ἅρμα κτλ. | παρὰ] καὶ HV || **10** ταῦτα H, ταῦτα δὲ V || **11** περὶ φερωνύμου V, ὅρος φερωνύμου H *lemmatis loco praefigunt* | μεγαπένθης H, μέγα πένθος V || **13** οὗτος H, οὔτε V || **17** ἐπιθετικοῦ καὶ κυρίου τάξιν ἔχον *Porphyrii (?) scholion in Dionys. 870, 14* || **18** αὐτὸ H || **23** Ποσειδῶν HV || **24** *sq. cf. Niceph. Blemmid. l. c. pag. 45, Ioann. Damasc. l. c. pag. 40, Choerob. epim. in Psalt. 2, 6, Simplic. ad Aristot. categ. pag. 40 et 43, Zonar. II 1690, alios* || **27** ἔστι δὲ V | ἑτερώνυμον λεγόμενον HV

καὶ κατάβασις, καὶ ὁ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος· ἄλλο γὰρ ἀναβαίνειν καὶ ἄλλο καταβαίνειν· ἓν ἐχόντων τὸ ὑποκείμενον, οἷον τὴν κλίμακα.

Ἔτι ἕτερα λέγεται, ὧν τό τε ὄνομα ἕτερον καὶ ὁ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος, διάφορα ἐχόντων τὰ ὑποκείμενα, ὡς ἄνθρωπος καὶ ἵππος, ἄλλα τὰ ὀνόματα ἔχοντα καὶ ἄλλους τοὺς κατὰ ὀνόματα λόγους καὶ τὰς οὐσίας διαφόρους.

Ἔτι παρώνυμον, ὃ ἀπό τινος διαφέρον τῇ πτώσει τὴν κατὰ τοὔνομα προσηγορίαν ἔχει, ὡς ἀπὸ ἀνδρείας ἀνδρεῖος· πτῶσις γὰρ ἐνθάδε καλεῖται τὸ τῆς λέξεως πέρας. τεττάρων δέ τινων χρεία γίνεσθαι παρώνυμα, κοινωνίας καὶ διαφορᾶς ὀνόματος καὶ κοινωνίας καὶ διαφορᾶς πράγματος· Ἕλενος γὰρ καὶ Ἑλένη οὐ παρώνυμα· κοινωνίαν μὲν γὰρ καὶ διαφορὰν ὀνόματος ἔχουσι, πράγματος δὲ κοινωνίαν οὐχί· Ἕλενος γὰρ ἐκ τῆς Τροίας καὶ Πριαμίδης καὶ μαντικός· ἄλλη τοίνυν ἡ Ἑλένη ὡς Λάκαινα, ὡς Τυνδαρίς, ὡς κακῶν αἴτιος· καὶ οὐχ ὡς ἐξ ἐπι⟨στήμης⟩ ὁ ἐπιστήμων ἐξ Ἑλένης ὁ Ἕλενος. ἀλλ' οὐδὲ τὸ παρθενικὴ καὶ παρθένος παρώνυμα· πράγματος γὰρ ἐν τούτοις οὐκ ἔστι διαφορά· ταὐτὸ γὰρ καὶ ἄμφω σημαίνουσι⟨ν⟩. ἀλλ' οὐδὲ τὸ ἀρετὴ καὶ σπουδαῖος· οὐ γὰρ κοινωνοῦσιν ὀνόματος· οὐδὲ μουσικὴ γυνὴ καὶ μουσικὴ ἐπιστήμη, ἐπεὶ μὴ ἔχουσι διαφορὰν ὀνόματος.

Ταῦτα δὲ διαφέρουσι τῶν ἀφ' ἑνός, λέγω τὰ παρώνυμα, ὅτι τὰ μὲν περιέχουσι τὰ ἀφ' ὧν παρωνομάσθησαν, ὡς ὁ γραμματικὸς τὴν γραμματικήν, τὰ δ' ἀφ' ἑνὸς οὐκέτι· οὐδὲ ⟨γὰρ⟩ περιέχει τὸ ἰατρικὸν ἐργαλεῖον τὴν ἰατρικήν· ἢ γὰρ ἂν ἰάτρευεν· οὐδὲ τὸ γραμματικὸν βιβλίον τὴν γραμματικήν· ἢ γὰρ ἂν ἔγραφε καὶ ἀνεγίνωσκε.

[DISCR. SCR.] 1 ἄλλον V || 2 ἄλλον V || 4 ἕτερον *pro* ἕτερα HV; *cf. Niceph. Blemmid. l. c. pag. 43, Ioann. Damasc. l. c. pag. 40, Simplic. ad Aristot. categ. pag. 40, 43* | ὀνόματος *pro* ὄνομα V | 5 ἀλλὰ HV || 7 πόσα τὰ (τὰ *om. V*) τοῦ παρωνύμου συστατικά *lemma in HV; cf. Aristot. categ. c. 1, Niceph. Blemmid. l. c. pag. 47* (*ubi pro* ἀποφέροντα *legendum* διαφέροντα), *Ioann. Damasc. l. c. pag. 40* (*qui supplendus est*), *Simplic. l. c. pag. 43, 34, Stephani scholion ad Dionys. 791 sq.* || 11 ὀνόματος *Niceph. Blemmid. l. c. pag. 47*, ὀμόματα *HV* | πράγματος *Niceph. Blemmid.*, πράγματα *HV* | ἔλενος *H*, ἑλένη *V* || 12 ὀνόματος *H* (*et Niceph. Blemmid.*), ὀνόματα V | πράγματος *Niceph. Blemmid.*, πράγματα HV || 13 ἑλένη HV | τῆς *om. V* | ἄλλη δὲ πάλιν *Niceph. Blemmid.* || 14 ἐξ ἐπι ὁ ἐπιστήμων H, ἐξ ἐπιστήμων V, ἐξ ἐπιστήμης ὁ ἐπιστήμων *Niceph. Blemmid.* || 15 τὸ παρθενική *Niceph. Blemmid. l. c. pag. 48*, τὸ παρθενικόν *HV* || 16 πράγματος *Niceph. Blemmid.*, πράγματα HV || 17 διαφορὰ H, διάφορα V | *ante* ἀλλ' *lemmatis loco haec verba:* τί διαφέρει τὰ παρώνυμα τῶν (τοῦ V) ἀφ' ἑνὸς *ponunt perperam HV, nam ante verba quae paullo post sequuntur:* ταῦτα δὲ διαφέρουσι *ea transponenda esse apparet* || 18 ὀνόματος V, ὀνόματι H || 20 *cf. Niceph. Blemmid. l. c. pag. 13 sq.* || 21 γραματικήν V || 22 οὐχ ἔτι HV

Ἔτι ἐθνικόν ἐστι τὸ ἔθνους δηλωτικόν. εἴληπται δὲ τετραχῶς· ἀπὸ γένους, ὡς Ἕλλην· ἀπὸ χώρας ὁλοκλήρου, ὡς Φρύξ· πόλεως μιᾶς, ὡς Ἀθηναῖος· καὶ βασιλέως, ὡς Ἀχαιός Δαναός.

Ἐρωτηματικόν ἐστι τὸ κατ' ἐρώτησιν λεγόμενον. καὶ πευστικὸν δὲ καλεῖται καὶ ἀπόκρισιν ζητεῖ ὡρισμένην, ὡς τίς ποῖος πόσος. διαφέρει δὲ ἀλλήλων, ὅτι πρὸς μὲν ἐρώτησιν ἀνανεῦσαι ἢ κατανεῦσαι ⟨ἱκανόν ἐστι⟩ μετὰ τοῦ ναί ἢ οὔ, ἡ δὲ πεῦσις ἅμα τῇ ἐρωτήσει ζητεῖ λαβεῖν τὴν ἀπόκρισιν, καὶ ὅτι ἐρωτηματικὸν μέν ἐστιν εὑρεῖν ἐν παντὶ μέρει λόγου, πευστικὸν δὲ ἐν ὀνόμασι καὶ ἐπιρρήμασι μόνοις.

Καὶ τί δήποτε τὰ πευστικὰ μόρια εἰς δύο ταυτὶ τοῦ λόγου μέρη ἐχώρησε[ν] καὶ διατί οὐχ εἰς ἓν ἑκάτερον τούτων, ἀλλ' εἰς πολλά, οἷον τίς ποῖος πόσος πόστος πηλίκος ποδαπός, πῶς πότε πηνίκα ποῦ πῇ;

Καὶ τοῦτο ἀπόδειξις τοῦ τὰ ἐμψυχότατα λόγου μέρη τὸ ὄνομα εἶναι καὶ ῥῆμα, ἅπερ οὐκ ἐν γνώσει ὄντα τὴν κατ' αὐτῶν πεῦσιν συνεχῶς ἔχει παραλαμβανομένην· ἐν πλείοσι δὲ ὀνοματικοῖς καὶ ἐπιρρήμασι διὰ ταῦτα.

Ὑπαρξίν τινος ὑποκειμένου ἐπιζητοῦντές φαμεν· τίς περιπατεῖ; ὡς τῆς περιπατήσεως οὔσης δήλης, τοῦ δὲ περιπατοῦντος ἀδήλου. ἔνθεν καὶ ⟨αἱ⟩ ἀνθυπαγωγαὶ ὀνοματικαὶ γίνονται, προσηγορικαὶ ἢ κύριαι, τῶν κυρίων ἐμφανιζόντων καὶ τὴν οὐσίαν· ἢ γὰρ ἄνθρωπος περιπατεῖ ἢ ἵππος φαμὲν ἢ Τρύφων, ἐγκειμένου πάλιν τοῦ ἀνθρώπου, ἢ τὸ ἀντ' ὀνόματος παραλαμβανόμενον μόριον, λέγω τοῦ κυρίου, οἷον ἐγώ. κἀπεὶ οὐκ ἐμφανῆ ὄντα τἀπισυμβαίνοντα τοῖς προκειμένοις ὀνόμασι⟨ν⟩ — αὐτὸ γὰρ μόνον τὸ τίς ὄνομα τῆς οὐσίας ἐπεζήτει, ᾗ ἐπέτρεχε τὸ ποιόν καὶ ποσόν καὶ πηλίκον — προσεπινοεῖται καὶ ἡ κατὰ τούτων πεῦσις, ὅτε κατὰ ποιότητα ζητοῦντες λέγομεν ποῖος, κατὰ ποσότητα πόσος, κατὰ πηλικότητα πηλίκος, καὶ ἐν παραγωγῇ ἐθνικῇ τῇ ἀπὸ τοῦ ποῖος ποδαπός. ὥστε ἀνθυπάγεσθαι μὲν τῷ ποῖος προλελημματισμένον ἀπὸ

[DISCR. SCR.] 1 ὅρος ἐθνικοῦ *lemma in HV* || 4 πνευστικὸν *V* || 5 ὡρισμένην *pro* ὡρισμένως *legendum apud Theodor. Gaz. IV pag. 123* (*ed. Basil. 1529*) | ἄλληλα HV || 9 ἀπορία διὰ ποίαν αἰτίαν ἐξ ὀνόματος καὶ ἐπιρρήματος μόνον πευστικὰ γίνεται *lemma in HV* || 11 πῇ *Apollon. Dyscol. de constr. 19,1* || 12 λύσις *lemma in HV* | Καὶ τοῦτο] ἢ καὶ αὕτη *Apollon. l. c.* | λόγου μέρη H, μέρη λόγου V, μέρη τοῦ λόγου *Apollon.* || 14 ἐν πλείοσι δὲ] *h. e.* ἦν δὲ ἐν πλείοσιν | ὀνομαστικοῖς V | καὶ *om.* V || 15 ὅρα διὰ ποίαν αἰτίαν τοσαῦτα (τυσαυτα V) τὰ πευστικὰ (περιπατικὰ H, περιπατητικὰ V) *lemma in* HV | τινα H | ὡς H, ὡς καὶ V || 17 αὐθυπαγωγαὶ H || 18 τὴν ⟨κοινὴν⟩ *vel* ⟨γενικὴν⟩ οὐσίαν *apud Apollonium pag. 19, 15, non apud Epitomatorem scribendum esse Priscianus XVII 23 docet* | ἢ ἵππος BC *codices Apolloniani* (*cumque iis Priscianus*) *exhibent, ceteri omittunt* || 19 τοῦ *om. V* | παραλαμνόμενον V || 20 ὄντα HV, ἦν *Apollonius* || 21 ⟨τὰ⟩ τῆς οὐσίας *cum Uhligio apud Apollonium l. c. pag. 19, 19 legendum est* || 22 προσεπενοεῖτο *Apollonio restituendum esse Prisciani* (*XVII 23*) *‚excogitabatur' demonstrat* || 25 προλελημματισμένον V

<τοῦ> τίς, ὡς κατ' ἐπιθετικὴν πεῦσιν, εἰ τύχοι ὁ γραμματικός, ὁ δρομεύς, ἔχοντος τοῦ λόγου τῇδε· τίς ἀναγινώσκει; Τρύφων. πότερος ἢ ποῖος; ὁ γραμματικὸς ἢ ὁ ῥήτωρ, ἅπαντα τὰ δυνάμενα ἐπισυμβαίνειν τοῖς ἐκ τοῦ τίς ἀνθυπαγομένοις ὀνόμασι κατ' ἐπιθετικὴν ἔννοιαν. διότι μέντοι τὰ ἀνθυπαγόμενα μετὰ ἄρθρου τὴν ἀνταπόδοσιν ἔχει, ὕστερον εἰρήσεται. ἀλλ' ἐπεὶ καί τινά ἐστι δι' ἑνικοῦ χαρακτῆρος πλῆθος ἐμφαίνοντα, καὶ τούτων τῇ ἀγνοίᾳ χαρακτῆρα ἡ πεῦσις ἀπένειμε, λέγω ἐν τῷ πόσος, ὅτε ἐπὶ πλήθους πυνθανόμεθα, καὶ ὅτε τὴν καθ' ἕκαστον ἀριθμὸν τάξιν ἐπὶ πλήθους ἐπιζητοῦμεν, ὡς ἐν τῷ πόστος, καὶ ὡς προείπομεν ἐπὶ μεγέθους πηλίκος καὶ ἐπὶ ἐθνικῆς ἐννοίας ποδαπός. ᾗ ἔσθ' ὅτε ἀνθυπάγεται καὶ τὰ ἐν ποιότητι, εἰ τύχοι ὅτε λέγομεν ποδαπός ἐστι Τρύφων; μέλας ἢ λευκός ἢ τοιοῦντόν τι. ἅπερ οἶμαι [οὐκ] ἀληθῶς ἀνθυπάγεσθαι τῇ πρὸς τὸ πρωτότυπον πεύσει, λέγω τῇ ποῖος. ᾧ λόγῳ καὶ τὸ ὑμεδαπός ἔχον τὴν ἀντωνυμικὴν πεῦσιν τό τε παρὰ τὸ ἄλλος ἀλλοδαπός, πάλιν τὴν ἀναίρεσιν τῶν προσώπων τῆς ἐθνικῆς παραγωγῆς ἐπαγγελλομένης. τούτῳ μέντοι διοίσονται, ᾗ τὰ μὲν ἐκ τοῦ ποῖος ἀνθυπαγόμενα μετὰ ἄρθρου ῥητά ἐστι, ποῖος Τρύφων; εἰ τύχοι ὁ μέλας ἢ ὁ λευκός. ἢ ὁπότερος Αἴας; <ὁ Λοκρός ἢ ὁ Τελαμώνιος.> ποδαπὸς δὲ Τρύφων; τὸ μὲν ἀνενδοίαστον καὶ ὑγιὲς Ἀλεξανδρεύς ἢ Ἀθηναῖος, τὸ δὲ παρεμπίπτον διὰ τὴν πρὸς τὸ πρωτότυπον ὡς ἔφαμεν πεῦσιν μέλας ἢ λευκός. ἤδη μέντοι ὑπ' ὄψιν πιπτούσης τῆς οὐσίας καὶ τῆς ποιότητος καὶ ἔτι τῶν συμπαρεπομένων ἔτι προσγίνεται πεῦσις ἡ κατὰ τῆς ἰδιότητος τοῦ ὀνόματος. ἀφορᾷ γοῦν ὁ Πρίαμος πάντα τὰ προειρημένα· τὴν γὰρ οὐσίαν ἐν τῷ ὅδε <*Hom.* Γ' *226*>, τὸ ἔθνος ἐν τῷ Ἀχαιός, τὴν ποιότητα ἐν τῷ ἠύς, τὴν πηλικότητα ἐν τῷ μέγας, οὐ μὴν τὴν ἰδιότητα τοῦ ὀνόματος, ὅθεν ἀναπληροῦται ἐν τῷ <Γ' *229*> Αἴας δ' ἐστὶ πελώριος. καὶ τὰ ἐπιρρήματα δὲ φέρεται ἐπὶ τὰς ἀγνοουμένας

[DISCR. SCR.] **4** *Post* ἔννοιαν *haec dittographia inest in HV:* διότι μέντοι τοῖς (τὰ H) ἀνθυπαγομένοις ὀνόμασι κατ' ἐπιθετικὴν ἔννοιαν || **5** ἀνθυπαγόμενον HV | μετὰ τοῦ ἄρθρου *Apollon. l. c. 20, 6* | ἀνταπόδωσιν V || **6** ἐπεὶ HV *cum B codice Apollonii 20, 7,* ἐπειδὴ *ceteri codices Apolloniani* || **7** ἀγνοία H, ἁγνοία V || **10** ᾗ] ἢ HV, *ut libri Apollonii, quorum lectionem correxit Portus* || **11** εἰ] καὶ HV || **12** *negationem* οὐκ *h. l. falso positam et in cod. Dudithiano expunctam exhibet editio Apollonii Aldina* || **13** ἔχων V || **14** πεῦσιν HV *ut codices Apollonii* (*l. c. pag. 20, 21*) *praeter B et codicem Porti* | ἄλλος] ἄλλις H, ἄλις V || **15** διοίσονται HV, διοίσοντα *rectius Apollon. l. c. pag. 20, 24* | ᾗ] ἡ V, ἢ H || **17** *alterum* ἢ *om. Apollonius* || **18** ποδαπός ἐστι Τρύφων *libri Apollonii;* ποδαπὸς δ' ἐστὶ Τρύφων *editio Sylburgiana* || **19** ἢ *om. Apollon.* | παρεμπίπτον HV || **23** γὰρ] μὲν *libri Apollonii, sed* γὰρ *legebat Priscianus XVII 24 pag. 123, 4 H* || **24** ἠὸ V, ἠῢ H | μέγας] μεγέθει HV || **25** οὗτος δ' Αἴας ἐστὶ πελώριος *Homerus et Apollonius* | ἐπὶ τὰς V, ἐν ταῖς *in textu,* ἐπὶ τὰς *in margine* H

διαθέσεις ἢ κατὰ ποιότητα τῆς πράξεως, ὥς φαμεν πῶς ἀνέγνω; ἀνθυπάγοντες ἐπίρρημα δυνάμει ἐπιθετικόν, εἰ τύχοι ῥητορικῶς. ἢ καὶ χρόνον, καθ' ὃν τὰ τῆς διαθέσεως ἐγένετο, οἷον πότε πηνίκα· οἷς ἀνθυπάγεται χθὲς ἢ πρώην. ἢ τόπον, ἐν ᾧ ⟨τὰ τῆς πράξεως γίνεται⟩, ὡς ποῦ νῦν δεῦρο κιὼν λίπες Ἕκτορα δῖον; ⟨Hom. K 406⟩ καὶ διαφορᾷ τῇ ἐκ τόπου εἰς τόπον· ⟨πῇ ἔβη Ἀνδρομάχη; ⟨Hom. Z 377⟩ πόθεν παρεγένου; γινώσκει γοῦν Ὀδυσσεὺς πόθεν ἦλθεν Ἐλπήνωρ, καὶ οὔ φησι πόθεν ἦλθες; οὐ μὴν τὴν ἔφοδον, διό φησι πῶς ἦλθες; ⟨Hom. λ 57⟩ ὡς μὲν οὖν τὰ προκείμενα μόρια καὶ ἐπιρρηματικά ἐστι καὶ ὀνοματικά, ἀπεδείχθη· περὶ ὧν τῆς συντάξεως⟩ ἐν τῷ περὶ ἐπιρρημάτων εἰσόμεθα.

Τὸ τίς εἰ μὲν παροξυτόνως κλίνοιτο, ἐρωτηματικόν ἐστι⟨ν⟩, εἰ δ' ὀξυτόνως, ἀόριστον. ταῦτα δὲ ἀντίκειται. ἀόριστον γάρ ἐστι τὸ ὡρισμένως μὴ δηλοῦν, ὃ ζητεῖ τὸ ἐρωτηματικόν, οἷον ὅστις ὁποῖος ὁπόσος. ἔοικε τοίνυν σημαίνειν τέσσαρα, ἀόριστον, ὡρισμένον, ἑνικὸν καὶ προσδιωρισμένον. ἔστι δὲ τριγενές.

Ἀναφορικόν ἐστι τὸ πρὸς ἕτερον ἀναφερόμενον ἢ ὁμοιωματικῶς ἢ δεικτικῶς ἢ ἀνταποδοτικῶς, οἷον οἷος ὅσος.

Περιληπτικὸν δὲ τὸ δι' ἑνικοῦ ἀριθμοῦ πλῆθος σημαῖνον.

Ἐπιμεριζόμενον τὸ ἐκ δύο ἢ καὶ πλειόνων ἐπὶ ἓν ἔχον τὴν ἀναφορὰν κατὰ διαίρεσιν ἢ σύναψιν, οἷον ἕτερος ἑκάτερος ἕκαστος ἄλλος. ἔστι δὲ καὶ συναπτικόν, ἐναντίον τῷ ἐπιμεριζομένῳ, οἷον πολλά ἀμφότερα. μερίζεται δὲ τετραχῶς· εἷς ἐκ δύο, ὡς ἕτερος· δύο καθ' ἕνα, ὡς ἑκάτερος· εἷς ἐκ πολλῶν, ὡς ἄλλος, καὶ πολλοὶ καθ' ἕνα, ὡς ἕκαστος.

[DISCR. SCR.] 2 ἐπιθετικὸν ἐπίρρημα δυνάμει HV, δυνάμει ἐπιθετικὸν τὸ ἐπίρρημα *Apollon. l. c. pag. 21, 17*; '*adverbium, quod adiectivi vice fungitur verbo*' *Priscianus XVII 25* | ῥητορικῶς V || 3 ἢ καὶ *scripsi*: εἰ δὲ HV; ἢ οὐ τοῦτο ἐπιζητοῦντες, χρόνον δὲ *Apollon. l. c. pag. 21, 18* || 4 ὥς που HV || 5 Ἕκτορα δῖον HV *cum Apollonio*; Ἕκτορα ποιμένα λαῶν *Homerus* | διαφορᾶ H, διαφορὰ V || 6—10 *supplevi ex Apollon. l. c. pag. 21, 25—22, 4* || 10 ἐν τῷ περὶ ἐπιρρημάτων εἰσόμεθα HV, κατὰ τὸ ἑξῆς εἰρήσεται *Apollon l. c. pag 22, 4* || 11 περὶ τοῦ τίς καὶ πόσα σημαίνει *lemma in HV* || 15 ὁμοιοματικῶς HV || 18 ὅρος ἐπιμεριζομένου *lemma praefigunt HV* || 20 συνακτικόν H | *ad verba* μερίζεται δὲ τετραχῶς *e. q. s. cf. Heliodori scholion in Dionys. 875, 22—31*: Καὶ ὁ ὅρος ⟨τοῦ ἐπιμεριζομένου⟩ καὶ τὰ ἐπιφερόμενα παραδείγματα πάνυ ἐσφαλμένα ἐστίν. εἰ γὰρ τὰ ἐπιμεριζόμενα ἐκ δύο ἢ καὶ πλειόνων ἐπὶ ἓν ἕκαστον ἔχει τὴν ἀναφοράν, ἔδει εἰπεῖν ἕτερος ἢ ἄλλος, ἐπειδὴ ἐκ δύο ἢ ⟨πλειόνων ἢ⟩ καὶ πολλῶν ἕνα σημαίνει. ἔστιν οὖν (ἔστι γοῦν *codd.*) οὕτως ἄμεινον λέγειν· ἐπιμεριζόμενόν ἐστιν, ὃ ἕνα ἐκ δύο ⟨ἢ δύο⟩ καθ' ἕνα ἢ ἕνα ἐκ πολλῶν ἢ πολλοὺς καθ' ἕνα σημαίνει (σημαίνει *pro* οἷον ἕνα οἷον)· ἕνα μὲν ἐκ δύο, ὡς τὸ ἕτερος τῶν ὀφθαλμῶν· ⟨δύο⟩ καθ' ἕνα, ὡς τὸ ἑκάτερος τῶν ὀφθαλμῶν· ἕνα ἐκ πολλῶν, ὡς τὸ ἄλλος πολλούς τε καθ' ἕνα, ὡς τὸ ἕκαστος, *cf. Crameri Epim. Hom. 70, 6—8*; *Choerob. epim. in Psalt. 121, 10 sqq.*; *Theod. Gaz. IV pag. 125, alios locos*

Περιεκτικόν ἐστι τὸ ἐν μιᾷ φωνῇ δηλοῦν τὸ περιέχον καὶ τὸ περιεχόμενον. διαφέρει δὲ τοῦ περιληπτικοῦ, ὅτι τὸ μὲν φωνῇ μόνῃ ἐστὶν ἐμφαντικὸν πλήθους· τὸ δὲ περιεκτικὸν ἄλλο δηλοῖ τὸ περιέχον καὶ ἄλλο τὸ περιεχόμενον, ὡς δαφνών.

Ὡς περιεκτικὸν δέ, ὃ τύπον μὲν ἔχει περιεκτικοῦ, ἑρμηνείαν δὲ καὶ δύναμιν οὐδαμῶς, ὡς ἀπατεών λυμεών.

Πεποιημένον δὲ τὸ παρὰ τὰς τῶν ἤχων ποιότητας μιμητικῶς λεγόμενον, οἷον φλοῖσβος ὁ θαλάσσης ἦχος, ὀρυγμαδός ὁ πλήθους ἀνθρώπων ἐπιρρεόντων, ῥοῖζος ὁ τοῦ πυρός. ἀλλὰ καὶ ὁ συριγμός. ἄραβος ὁ τῶν ἁρμάτων, δοῦπος ὁ τῆς ἀσπίδος καὶ τοῦ θώρακος, κλαγγή ἡ τῶν γεράνων βοή, κάρκαιρος ἦχος ποδῶν τῶν τρεχόντων ἵππων, βόμβος καὶ τὰ τοιαῦτα. ὥσπερ καὶ μυγμοί οἱ διὰ τῶν μυκτήρων ἦχοι, σιγμοί οἱ ἐξ ἄκρας ⟨τῆς⟩ ὑπερῴας συριγμοί, ὡς οἱ τοῦ ζ̄ ξ ψ σ̄.

Γενικόν ἐστι τὸ δυνάμενον εἰς εἴδη διαιρεθῆναι, ὡς ζῷον φυτόν.

Εἰδικὸν τὸ ἀπὸ γένους διαιρεθέν, ὡς βοῦς ἄμπελος.

Τακτικὸν τὸ τάξιν δηλοῦν, ὡς πρῶτος δεύτερος.

Ἀριθμητικὸν τὸ σημαῖνον ἀριθμόν, ἀντιστρόφως τῷ τακτικῷ· τὸ μὲν γὰρ ἀριθμοῦ λόγον οὐδένα ποιεῖται, τάξεως δέ, τὸ δὲ τάξεως μὲν οὐχί, ἀριθμοῦ δέ.

Ἀπολελυμένον, ὃ καθ' ἑαυτὸ νοεῖται, θεός ἄγγελος.

Μετουσιαστικὸν τὸ μετέχον οὐσίας τινός, οἷον πύρινος δρύϊνος ἀμμώδης.

Ἑξῆς τὰ τοῦ παραγώγου εἴδη κείσθω. τὸ δὲ πατρωνυμικὸν προκείσθω ὡς ἀπὸ κυρίου γινόμενον τοῦ πρώτου τῶν ἄλλων ὑπ' αὐτὸ εἰδῶν. ἔστι δὲ πατρωνυμικὸν τὸ ἀπὸ πατρὸς ἐσχηματισμένον, καταχρηστικῶς δὲ καὶ ἀπὸ προγόνων. γίνεται δὲ ἀπὸ τῆς γενικῆς τοῦ πρωτοτύπου κυρίου καὶ εἰς αὐτὴν αὖθις ἀναλύεται μετὰ τοῦ υἱός ἢ ἔκγονος. ἃ δὲ μὴ ἀναλύεται οὕτω, τύπον μόνον ἔχει καὶ οὐχὶ σημαινόμενον πατρωνυμικῶν, δηλούμενον δὲ παρωνύμων, ὡς Εὐριπίδης Ἡρώδης φωνῇ μόνῃ ἔοικεν εἶναι πατρωνυμικά, ἐπεὶ μὴ ἀπὸ κυρίων. τὸ ἀδελφιδοῦς καὶ θυγατριδοῦς, καίτοι εἰς γενικὴν μετὰ τοῦ υἱός ἀναλυόμενα, οὐκ εἰσὶ πατρωνυμικά, ἐπεὶ μὴ ἀπὸ κυρίων μήτε τύπον ἔχει πατρωνυμικόν, ἀλλὰ μᾶλλον συγγενικόν. ἃ γὰρ μὴ ἀπὸ πατέρων ἢ μητέρων, συγγενῶν δὲ ἄλλων ἢ ἀδελφῶν, συγγενικά, ὡς συγγένειαν δηλοῦντα.

Κτητικὸν δὲ τὸ ὑπὸ τὴν κτῆσιν πεπτωκός, ἐμπεριειλημμένου τοῦ κεκτημένου ᾧ καὶ Ὅμηρος χρῆται ἀντὶ πατρωνυμικοῦ, ὡς Τελαμώνιος Αἴας ⟨*B* 528⟩, Νηληίῳ υἷι ἐοικώς ⟨*B* 20⟩· κτῆμα γὰρ ἀληθῶς ὁ παῖς τῷ πατρί. τέτακται δὲ μετὰ τὸ πατρωνυμικόν, ἐπεὶ μὴ ἀπὸ κυρίου μόνον, ὡς τὰ πατρωνυμικά, ἀλλὰ καὶ ἀπὸ προσηγορικῶν. ἐκ γὰρ γενικῆς κυρίου ἢ προσηγορικοῦ

[DISCR. SCR.] 7 ἐπιρέοντα HV || 8 ἄρραβος H || 10 βόμβος H, βόμος V || 12 οἱ *om.* V || 17 μὲν οὐχί, ἀριθμοῦ δὲ *scripsi* : μὲν οὐχὶ δὲ καὶ ἀριθμοῦ HV || 19 ὅρος μετουσιαστικοῦ *lemma praemittit* H || 20 περὶ τῶν τοῦ παραγώγου μερῶν *lemma in HV* || 21 γενόμενον V | ἐπ' αὐτὸ V 25 σημαινομένῳ πατρωνυμικῷ δηλουμένῳ δὲ παρώνυμον HV || 26 πατρωνυμικόν HV || 31 ἐμπεριειλημένου V || 35 γενικοῦ HV

γενόμενον εἰς τὴν γενικὴν αὐτοῦ ἀναλύεται μετά τινος τῶν ὑπὸ κτῆσιν ἄγεσθαι δυναμένων. ἔτι διαφέρει πατρωνυμικοῦ, ὅτι ἐκεῖνο μὲν ἐν μιᾷ φωνῇ δηλοῖ τὸν πατέρα καὶ τὸν υἱόν· τὸ δὲ κτητικὸν δύο φωνὰς ἀπαιτεῖ, τὸν κτήτορα καὶ τὸ κτῆμα. εἴδη κτητικῶν τὸ οἰκειωτικόν, οἷον Ὀλύμπιος, τὸ μετουσιαστικόν, οἷον ἀργύρεος, καὶ συνεμφαντικόν, οἷον γεωμετρικός.

Συγκριτικόν ἐστι τὸ κατὰ σύγκρισιν λεγόμενον ἢ ἑνὸς πρὸς ἕνα ὁμοιογενῆ καὶ οὐχὶ πρὸς πολλοὺς ὁμοιογενεῖς, ὡς μὴ καθυβρισθεῖεν, οἷον Ἀχιλλεὺς ἰσχυρότερος Αἴαντος· ἢ ἑνὸς πρὸς πολλοὺς ἑτερογενεῖς, ὡς Ἀχιλλεὺς ἰσχυρότερος τῶν Τρώων. γίνεται δὲ ἑνὸς πρὸς πολλοὺς ὁμογενεῖς, ὅταν πάντες ἢ μιᾶς ὦσιν ἡλικίας ἢ τόπου, ὡς ἑνὸς πρὸς ἕνα καὶ οὕτω δοκεῖν γίνεσθαι τὴν σύγκρισιν, οἷον ἐμὸς δέ κε παῖς ὁπλότερος εἴης γενεῆφι⟨ν⟩ ⟨*Hom. I 57 sq.*⟩. ἀναλύεται δὲ παρωνύμως ἐξενεχθὲν μετὰ τοῦ μᾶλλον ἢ ἧσσον ἢ τοῦ μάλιστα εἰς πρωτότυπον ἢ εἰς τὸ μετειληφὸς τοῦ πρωτοτύπου, οἷον ταχύτερος ὁ μᾶλλον ταχύς. τρίτον δ' ἐστὶ τῇ τάξει, ἐπεὶ ἐξ ἐπιθέτων γίνεται, οὐ κυρίων οὐδὲ προσηγορικῶν· ἡ γὰρ σύγκρισις τῶν πρωτοτύπων ἐπαύξησι⟨ς⟩. γενικῇ δὲ συντασσόμενον τὸ συγκριτικὸν δηλοῖ τὴν σύγκρισιν, νεώτερος ὅδε τοῦδε. μὴ ἔχον δὲ τὴν γενικὴν ἀντὶ πρωτοτύπου ἐστί, νεώτερος ⟨*Hom. φ 132*⟩ ἀντὶ τοῦ νέος. καὶ μελάντερον ἠύτε πίσσα ⟨*Hom. Δ 277*⟩ ἀντὶ τοῦ μέλαν. ἴδιον δὲ συγκριτικοῦ τὸ ἀναλύεσθαι εἰς εὐθεῖαν μετὰ τοῦ μᾶλλον· ἀττικώτερον γάρ φασι μᾶλλον σοφὸς ⟨οὗτος⟩ τοῦ δεῖνος.

Ὑπερθετικὸν τὸ κατ' ἐπίτασιν ἑνὸς πρὸς πολλοὺς παραλαμβανόμενον ἐν συγκρίσει. μετὰ γὰρ τῆς τοῦ πρωτοτύπου ἐννοίας τὴν κατὰ πάντων ἐπίτασιν ἔχει. καὶ ἡ μὲν σύγκρισις τῶν πρωτοτύπων ἐπίτασις ἢ ἐπαύξησις· ἥ γε μὴν ὑπέρθεσις αὐτῶν τῶν συγκριτικῶν ἐπίτασις τελεία, διὸ καὶ πρὸς πολλοὺς πάντως γίνεται. διὰ τοῦτο οὐδ' ἐπίτασιν ἔτι δέχεται τὸ ὑπερθετικόν, ἅτε ὑπὲρ πάντας ἔχον τὰ τῆς συγκρίσεως· τὸ γὰρ ἀνδρειότερος ⟨ἢ πέντε ἢ δέκα⟩· τὸ δ' ἀνδρειότατος καθόλου κατὰ πάντων πρόεισι⟨ν⟩. ἔτι λέγομεν ὑπερθετικὸν τὸ ὑπὲρ πάντας ἔχον τὴν ὑπέρθεσιν ἐν ὁμοιογενέσι⟨ν⟩, οἷον ἀνδρειότατος Ἀχιλλεὺς πάντων ⟨τῶν⟩ Ἑλλήνων. σοφώτατος Ὀδυσσεὺς πάντων ⟨τῶν⟩ ἀνθρώπων. ἔτι τὸ συγκριτικὸν οὐ λέγεταί ποτε χωρὶς τοῦ μεθ' οὗ συγκρίνεται· πρὸς ἓν γὰρ ἀφορᾷ, ὅπερ ἄδηλον ὁποῖόν ποτε, εἰ μὴ περιλαμβάνεται τῷ λόγῳ. ἐπὶ θεοῦ μόνου λέγεται κυρίως συγκριτικόν, μὴ περιλαμβανομένων

[DISCR. SCR.] **1** κτήσεως V, κτίσιν H || **3** κτήτορα] φευτήτορα H, φεύτορα V || **5** συνεχφαντικόν *Stephani scholion in Dionys. 853, 3; Epim. Hom. in Crameri AO. I 436, 30; EM. 30, 7 et 9; EG. 15, 48 sqq. = 571, 5 sqq., alii loci* || **9** τῶν *om. H* || **11** κεν HV | ὁπλότατος *Homerus* || **13** ἧσσον V || **14** ἐπὶ *pro* ἐπεὶ V || **17** ἔχων HV || **21** δεινός V || **23** τοῦ *om. V* || **26** πάντ' ἔχων HV || **27** ἀνδρειότερον *et* ἀνδρειότατον HV | ⟨ἢ πέντε ἢ δέκα⟩ *Stephani scholion ad Dionys. 855, 11 sq., om. HV* || **28** πάντ' ἔχον H || **31** λέγεται ποτὲ HV || **33** παραλαμβανομένων H

τινῶν εἰς σύγκρισιν, οἷον τὸ κρεῖττον, ὃ καὶ ὑπερθετικῷ ἔοικεν· οὐ γὰρ ἑνός τινος τὸ θεῖον κρεῖττον, ἀλλὰ πάντων. τὸ δ' ὑπερθετικὸν καὶ χωρὶς γενικῆς ὂν ἔχει τὴν σύγκρισιν, ἐπεὶ οὐ πρὸς ἓν ἀφορᾷ, ἀλλ' ἅπαντα, οἷον βέλτιστος ἄνθρωπος ἤγουν τῶν ἀνθρώπων, ἀντὶ γενικῆς τὴν εὐθεῖαν λαμβάνων. χείριστος. ταῦτα δὴ συντάσσεται γενικῇ ὡς ἔφημεν καὶ οὐ λαμβάνεται ἔξωθεν πρόθεσις. ἐπὶ μερισμοῦ δὲ ληφθεῖσα ἡ τάξις καὶ τὰ ἁπλᾶ γενικῇ συντάττειν δίδωσι, λαμβανομένης ἔξωθεν τῆς ἀπό, ὡς τὸ εἷς τῶν σοφῶν. ἐνίοτε δὲ καὶ ἡ τάξις ἤτοι ὁ ἀριθμὸς καὶ ἡ πρόθεσις καὶ τὸ ὑπαρκτικὸν ἔξωθεν, ὡς τὸ ἡ δικαιοσύνη τῶν καλῶν.

Ὑποκοριστικόν ἐστι τὸ μείωσιν τοῦ πρωτοτύπου ἀσυγκρίτως δηλοῦν· προϋποκειμένου γὰρ τυχὸν τοῦ ἄνθρωπος γίνεται ὑποκορισμὸς τὸ ἀνθρωπίσκος ἀσυγκρίτως, ἐπεὶ μὴ ἐπιδέχεται συγκριτικόν.

Ὁρισάμενοι τὸ παρώνυμον πρότερον αὖθις λέγομεν, ὃ γραμματικῇ δοκεῖ περὶ τοῦδε. εἰ γὰρ παρὰ τοῦτο παρώνυμον, ὡς παρ' ὄνομα ποιηθέν, πῶς οὐχὶ καὶ τὰ ἄλλα εἴδη παρώνυμα λέγοιντ' ἄν; ἀλλ' εἰ καὶ παρ' ὄνομα γεγόνασι⟨ν⟩, ἀλλ' οὖν διαστέλλεται ἕκαστον ἀπ' ἀλλήλων, τὸ μὲν πατρωνυμίαν δηλοῦν, τὸ δὲ κτῆσιν, τὸ δὲ σύγκρισιν, τὸ δ' ὑπέρθεσιν, ἄλλο ὑποκορισμόν· τὸ δὲ μόνην τὴν τῆς παραγωγῆς ἔσχηκε σημασίαν, ἀπ' ὀνόματος εἰς ὄνομα μετενεχθέν, οὐχὶ καὶ ἑτέραν ἰδιάζουσαν προσειληφός. ἢ καὶ ἑτέρως· τῶν ἄλλων εἰδῶν ἕκαστον μίαν ἔχον σημασίαν ἐξ αὐτῆς καὶ ὠνομάσθη· τὸ δὲ παρώνυμον πλείονα δηλοῦν ἠπόρηται πόθεν ὠνόμασται. καὶ γὰρ περιεκτικόν, ὡς ἄμπελος ἀμπελών· ἐθνικόν, ὡς Ἀκράγας Ἀκραγαντῖνος· μετουσιαστικόν, ὡς δέρμα δερμάτινος· κύριον, ὡς κράτος Κρατῖνος. πολλὰς τοίνυν ἔχον αὐτόθεν σημασίας οὐκ ἂν ἐξ ἑνὸς ὤφειλεν ὀνομάζεσθαι. διὰ τοῦτο ἐκ τοῦ παρεπομένου πᾶσιν ἐκλήθη, λέγω τοῦ παρωνύμου· ὃ γὰρ ἐπὶ ὑποτακτικῆς ἐγκλίσεως συμβαίνει, οὐκ ἐκ σημασίας, τῆς δὲ συντάξεως ὀνομασθῆναι, τοῦτο καὶ ἐπὶ παρωνύμου· γέγονε μὲν γὰρ παρ' ὄνομα, οὐδενὶ δὲ τῶν ἄλλων εἰδῶν ὑποπέπτωκε.

Ῥηματικὸν δὲ τὸ ἀπὸ ῥήματος παρηγμένον, ἐνέργειαν ἢ πάθος δηλοῦν. πᾶν δ' ὄνομα ῥηματικὸν τὰ τελευταῖα τοῦ ῥήματος φυλάττει σύμφωνα, ὡς ἀπὸ τοῦ πεποίηται ποιητής καὶ τοῦ πεποίημαι ποίημα. καὶ τὰ μὲν παρώνυμα φυλάττει τὸ ω̄ τῆς εὐθείας ἐν τῇ γενικῇ, τὰ δὲ ῥηματικὰ οὐκέτι, ἀλλὰ συστέλλουσι.

[DISCR. SCR.] 1 ἑνὸς τινὸς H || 4 λαμβάνων H || 5 χείριστος *om.* *V* || 17 τὴν *om.* *V* | μόνην τὴν σημασίαν] τὴν κοινὴν ὀνομασίαν *Porphyr.* (?) *in Dionys. 858, 9*; *generalem nominationem* *Priscianus III 1* || 18 ἀπὸ *pro* ἀπ' V | μετεχθὲν V || 19 προσειληφὼς V || 20 ἔχον *scripsi coll. Stephani scholio ad Dionys. 857, 30 sq.*: ἐχόντων HV || 21 ὠνόμασθαι V || 22 δερματῖνος HV || 26 ὠνομάσθη H, ὀνομάσθη V | ἐπὶ] ἔτι V || 27 γὰρ H, $\overset{\text{δὲ}}{\text{γὰρ}}$ V || 30 πεποίημαι *scripsi coll. Stephani scholio in Dionys. 858, 24 sqq.* (πᾶν δὲ ῥηματικὸν ὄνομα διὰ τοῦ μ̄ λεγόμενον οἰκειοῦται

Κεφάλαιον πέμπτον·

περὶ τύπων τῶν τοῦ παραγώγου εἰδῶν.

Ὁρισάμενοι δὴ πάντα ⟨τὰ⟩ εἴδη, ὅσα τῷ καθόλου εἴδει ὑποπέπτωκε⟨ν⟩, ἑξῆς δέον περὶ καταλήξεων διελθεῖν τῶν ὑποπιπτόντων τῷ παραγώγῳ εἴδει εἰδῶν καὶ παραλήξεων, αἳ καὶ τύποι λέγονται.

Πατρωνυμικῶν μὲν οὖν ἀρσενικῶν τύποι τρεῖς· ὁ εἰς δης, ὁ εἰς ων καὶ ὁ εἰς αδιος. καὶ ὁ μὲν εἰς δης κοινῆς διαλέκτου, ὡς ἐκ Πηλέως Πηλεΐδης Πηλείδης· Ἡρακλέους Ἡρακλείδης ὡσαύτως, καὶ Ἀγαμέμνονος Ἀγαμεμνονίδης. ὅτε μὲν οὖν ἡ γενικὴ εἰς ος ἢ εἰς ους ἢ εἰς ως λήγει, διὰ τοῦ ιδης γίνεται τὸ πατρωνυμικόν· ὅτε δὲ εἰς ου λήγει, εἰ μὲν ἀπὸ τῶν εἰς ας ἢ εἰς ης, διὰ τοῦ αδης, ὡς Ἱππότης Ἱππότου Ἱπποτάδης· εἰ δὲ τῶν εἰς ος εὐθειῶν, εἰ μὲν παραλήγοιτο τῷ ι, διὰ τοῦ αδης, ὡς ἀφ' Ἡλίου Ἡλιάδης· εἰ μὴ τῷ ι, διὰ τοῦ ιδης, ὡς ἀπὸ Πριάμου Πριαμίδης καὶ Πάνθ⟨ο⟩ος Πανθόου Πανθοΐδης καὶ κατὰ συναίρεσιν Πανθοίδης. ὡς γίνεσθαι παραλήξεις τῶν εἰς δης τέσσαρας, ἢ τῷ ι παραληγομένας ἢ τῇ οι διφθόγγῳ ἢ τῇ ει ἢ τῷ α.

Δῆλον οὖν, ὅτι τὰ πατρωνυμικὰ ἐκ τῶν γενικῶν γίνονται τῶν ἀρσενικῶν ὀνομάτων, μιᾷ αὐτῶν πλεονάζοντα συλλαβῇ. παρὰ δὲ νεωτέροις καὶ ἀπὸ θηλυκῶν ἤτοι μητέρων, ὡς Λητοΐδης ὁ Ἀπόλλων καὶ Δαναΐδης ὁ Περσεύς· τὸ Τελαμωνιάδης πλεονάζει δυσὶ συλλαβαῖς τῆς Τελαμῶνος γενικῆς· Ἀνθεμίδης δὲ καὶ Δευκαλίδης ἐλλείπει συλλαβῇ τῆς Ἀνθεμίωνος καὶ Δευκαλίωνος, πάθει τι πεπονθότων, τῶν μὲν πλεονασμόν, τῶν δὲ συγκοπήν.

Ὁ εἰς ων τύπος Ἰάδος ἐστὶ διαλέκτου. γίνεται δὲ ἐκ τῶν εἰς δης πατρωνυμικῶν ἀμοιβῇ τοῦ τέλους εἰς ων, ὡς Πηλείων Κρονίων Ἀτρείων.

Ὁ δ' εἰς αδιος Αἰολίδος ἐστί⟨ν⟩· Αἰολέων γὰρ ἴδιον τὸ προπαροξύνειν καὶ συστέλλειν· διὸ καὶ πρὸς χρόνον καὶ τόνον χρειώδης ὁ τρόπος οὗτος Αἰολεῦσιν· ὡς Τηνάδιος ὁ τοῦ Τήνα υἱός, Ὑρράδιος ὁ τοῦ Ὕρρα, λέγω ὁ Πιττακός·

[DISCR. SCR.] ⟨τῷ⟩ πρώτῳ παθητικοῦ ⟨παρακειμένου, ἐξ οὗ καὶ ἐγένετο,⟩ κατὰ τὸ σύμφωνον, διὰ δὲ τοῦ τ τῷ τρίτῳ, οἷον πέπραγμαι πρᾶγμα πολυπράγμων, πεποίημαι ποίημα, πεποίηται ποιητής κτλ.) πεποιημένου HV || 2 τύπων *om.* V || 4 καταλήξεως HV || 5 ἃ καὶ τύπο λέγεται HV || 6 τύποι πατρωνυμικῶν ἀρσενικῶν *lemma praemittunt* HV || 10 *verba* διὰ τοῦ ιδης — εἰς ου λήγει *om.* V || 11 ἱπποτιάδης V || 15 τῇ οι] τῷ οι HV || 16 τῷ α] τῇ α HV || 17 πόθεν γίνονται *inscribitur haec sectio in H* || 22 τί H || 26 συστέλλειν] εὐστέλλειν HV || 27 τρόπος HV, τύπος *Stephani scholion ad Dionys.* 850, 17 *et Herodian.* II 858, 26 (*Crameri AO.* IV 326, 28)

Ὕρρας δὲ βασιλεὺς Μιτυληναίων, ⟨οὗ υἱὸς Πιττακός,⟩ εἷς τῶν ἑπτὰ φιλοσόφων.

Θηλυκῶν πατρωνυμικῶν μέντοι τύποι ⟨τρεῖς⟩· ὁ εἰς ις καὶ ας καὶ νη. γίνονται δὲ ἀπὸ τῶν εἰς δης ἀρσενικῶν ἀποβολῇ τῆς δη μόνης, ὡς ἀπὸ τοῦ Πριαμίδης Πριαμίς, Βορεάδης Βορεάς· ὡς δὲ καὶ ἀπὸ Βασιληΐδης Βασιληΐς καὶ ἐνδείᾳ ⟨τοῦ η⟩ Βασιλίς. Θησηΐς Χρυσηΐς Νηρηΐς ἀπὸ τοῦ ⟨Θησεύς καὶ⟩ Χρύσης καὶ Νηρεύς. τῶν δὲ εἰς νη Αἰολικῆς ὄντων διαλέκτου παραλήξεις δύο, τὸ ι καὶ ω. ἀπὸ γὰρ τῆς εἰς ου ληγούσης γενικῆς γινόμενον, ὅτε μὲν τὸ πρωτότυπον οὐκ ἔχει τὸ ι παραλῆγον, διὰ τοῦ ινη ποιεῖ τὸ πατρωνυμικόν, ὡς Εὔηνος Εὐήνου Εὐ⟨η⟩νίνη· ὅτε δὲ ἔχει, διὰ τοῦ ωνη ποιεῖ, ὡς ἀπὸ Ἀκρισίου καὶ Ἰκαρίου Ἀκρισιώνη Ἰκαριώνη, ἵνα μὴ τὰ δύο ιι ἐκφωνούμενα ἀλλεπάλληλα κακοφωνίαν ἐργάσηται.

⟨Ἀπὸ⟩ οὐδετέρων οὐ γίνεται ⟨τὰ⟩ πατρωνυμικά, ἐπεὶ μὴ ἐκ σημασίας ἔχει τὴν ὀνομασίαν· ⟨ἀλλ' οὐδὲ ἀπὸ προσηγορικῶν, ἐπειδὴ τὰ προσηγορικὰ κοινὴν οὐσίαν σημαίνει καὶ κατὰ πολλῶν λαμβάνεται,⟩ ὡς εἴρηται. ἀδελφιδοῦς δὲ καὶ υἱϊδοῦς καὶ θυγατριδοῦς οὐ πατρωνυμικὰ ἀλλὰ συγγενικά. ἑτέρωθέν τε Εὐριπίδης καὶ ὅσα τοιαῦτα τύπον μόνον ἔχει πατρωνυμικοῦ.

Τὸ ⟨δὲ⟩ χρήσιμον τοῦ πατρωνυμικοῦ εἴδους ἡ συντομία· ⟨ἀντὶ γὰρ τοῦ εἰπεῖν Πηλέως υἱόν, τὸν Διὸς ἔγγονον ἢ Αἰακοῦ φημὶ Πηλείδης, Αἰακίδης. ὅθεν οὐδὲ προστίθεται τὸ υἱός ἤ τι τοιοῦτον. τὸ γὰρ Πριαμίδην νόθον υἱόν ⟨*Hom.* Λ *490*⟩ ποιητικῶς πλεονάζει ἢ διὰ τὸ νόθος προσέρριπται· τοῖς μέντοι κτητικοῖς πάντως ἐπάγεται· πολλὰ γὰρ τὰ κτήματα⟩.

Τύποι κτητικῶν ⟨δύο⟩· ὁ εἰς ος, οὗ παραλήξεις ἕξ· τὸ ι, οἷον Σάμιος· τὸ ε, οἷον Ἑκτόρεος χιτών ⟨*Hom.* B *416*⟩· ἢ ει δίφθογγος, οἷον Ὁμήρειος θεῖος· ἢ αι, ὡς Κυρηναῖος· ἢ οι, ὡς ἀλλοῖος· ἢ ῳ, ὡς ἡρῷος πατρῷος· καὶ ὁ εἰς κος, ⟨οὗ⟩ παραλήξεις τρεῖς· τὸ ι, ὡς μουσικός· τὸ α, ὡς Δηλιακός· τὸ υ, ὡς ἁλυκός. σεσημείωται μόνα διφθόγγῳ παραληγόμενα τὸ κεραμεικός βοεικός Δαρεικός Δεκελεικός. τῶν δὲ εἰς κος τινὰ μὲν κτητικά, ὡς βασιλικὸς λόγος, ἣ ὃν [μὲν] ἔγραφε βασιλεὺς

[DISCR. SCR.] 1 ⟨οὗ υἱὸς Πιττακός⟩ *Crameri AO. IV 326, 31 = Herodian. II 858, 29* || 4 τοῦ V, τῆς H || 5 βασιλείδης βασιλεῖς HV | καὶ ἐνδείᾳ] ἡ ἐνδεία HV || 6 ⟨τοῦ η⟩ *Steph. ad Dionys. 850, 24* || 7 *sqq. cf. Priscian. II 39* || 7 τῶν] τούτων HV || 8 εἰς *om. V* | γινομένου HV || 13 ⟨τὰ⟩ πατρωνυμικὰ *Stephanus ad Dionys. 851, 8 sq.;* πατρωνυμικόν H, πατρωνυμικῶν V; *ad rem cf. Stephani scholion ad Dionys. 851, 13 sqq.* || 16 πατρωνυμικῶς ἀλλὰ συγγενικῶς HV || 18 *cf. Porphyrii (?) scholion ad Dionys. 849, 8 sqq., cuius fons est Apollonius Dyscolus, cf. de constr. I 28 pag. 58 sq.* || 24 ἐκτόρεος HV || 25 ἢ ω HV || 26 μουσική HV || 27 παραληγομένα V || 28 Δεκελεικός *Herodian. II 860, 28,* Δεκελειακός HV || 29 μὲν *delevi secutus Thom. Mag. pag. 63, 4 sq. R. et Favorin. dictionar. pag. 355 (ed. Basil. 1538)*

ἢ ἕτερος εἰς αὐτόν· τινὰ δὲ δηλοῦσιν ἐπιτηδειότητά τινος εἴς τι, ὡς δρομικός ἢ πυκτικός ἢ γραμματικός ὁ μήπω μὲν ὤν τι τούτων, δυνάμενος δὲ γενέσθαι· τὰ δὲ λέγεται ἐνεργείᾳ, ὡς μουσικός ἢ γραμματικός ὁ εἰδὼς ταῦτα· τὰ δὲ φύσει, οἷον λογικός ὁ λόγῳ χρώμενος.

Συγκριτικῶν τύποι τρεῖς· ὁ εἰς τερος, ὡς ὀξύτερος· ὁ εἰς σων, ὡς ταχίων τάσσων καὶ θάσσων, βραδίων βράσσων· βράσσων δέ τε νόος, λεπτὴ δὲ μῆτις ⟨*Hom. K 226*⟩· κρείσσων· καὶ ὁ εἰς ων, ὅς, εἰ μὲν εἴη τρισύλλαβος, τῷ ῑ μόνῳ παραλήγεται, ὡς καλλίων· σεσημείωται τὸ ἀρείων καὶ χερείων· εἰ δὲ δισύλλαβος, τῇ ει διφθόγγῳ. γίνεται δὲ τὰ συγκριτικὰ ἐκ μερῶν τοῦ λόγου πέντε· ὀνόματος, ὡς ὀξύς ὀξύτερος· ῥήματος, ὡς φέρω φέρτερος· μετοχῆς, ὡς ἄσμενος ἀσμενέστερος· ἀπὸ πρό προθέσεως πρότερος· ἀπὸ ἄνω ἐπιρρήματος ἀνώτερος. ἀπὸ τῶν λοιπῶν οὐ γίνεται, εἰ καὶ πέπαικται Ἀριστοφάνει ⟨*Plut. 83*⟩ τὸ αὐτότατος.

Τῶν ὑπερθετικῶν δύο· ὁ εἰς τατος, ὃς ἀπὸ τοῦ τερος γίνεται συγκριτικοῦ, ⟨καὶ⟩ ὁ εἰς στος, ἀπὸ τοῦ εἰς ων οὕτως γινόμενος. ὅς, εἰ μὲν εἴη δισύλλαβος, διφθόγγῳ παραλήγεται, ὡς πλεῖστος· εἰ δὲ ὑπὲρ δύο συλλαβάς, τῷ ῑ μόνῳ. ὁμοίως τὸ χείριστος καὶ ἄριστος ἀποβάλλει τὴν δίφθογγον τοῦ συγκριτικοῦ.

Γίνεται δὲ τά τε συγκριτικὰ καὶ τὰ ὑπερθετικὰ τῶν ὀνομάτων ἐκ μόνων τῶν ἐπιθέτων, ἃ καὶ τριγενῆ λέγεται. ταῦτα γὰρ μόνα ποιότητάς τινας ἢ ποσότητας μόνον δηλοῦντα τὸ μᾶλλον ἐπιδέχεται καὶ ἧττον, ὡς σοφός δίκαιος αἰσχρός μέγας, ἀλλ' οὐχ ὡρισμένας ὡς τὸ δίπηχυ τρίπηχυ. ἀπὸ μὲν δὴ τῶν εἰς ος ἐπιθέτων ἡ εἰς τερος γίνεται σύγκρισις καὶ εἰς τατος ὑπέρθεσις. σεσημείωται τὸ φίλος, οὐ φιλώτερος, ἀλλὰ φίλτερος φίλτατος.

Ὅσα δὲ τῶν ὀνομάτων ἔμφασιν μὲν ἔχει τοῖς ἐπιθέτοις συντάττεσθαι, οὐ μέντοι τριγενῆ ἐστι⟨ν⟩, ἀρσενικὸν δὲ μόνον ἔχει καὶ θηλυκόν, ὡς τὸ στρατιώτης, οὐ δύναται ποιεῖν ἀφ' ἑαυτῶν οὔτε συγκριτικὸν οὔτε μὴν ὑπερθετικόν, ἀλλ' εἰς κτητικὸν παραγόμενα ἐκεῖθεν ποιεῖ, οἷον στρατιωτικός, εἶθ' οὕτω στρατιωτικώτερος καὶ στρατιωτικώτατος. καὶ τὰ μὲν εἰς ος ἐπίθετα οὕτω ποιεῖ τὴν σύγκρισιν διὰ τοῦ ω̄ ⟨ἢ⟩ ο̄· εἰ μὲν ἔχει τὴν πρὸ αὐτοῦ συλλαβὴν

[DISCR. SCR.] 2 δυνάμενον HV || 5 τύποι *Dionysius Thrax pag. 27, 6 Uhlig.*, τρόποι HV || 6 Ἀλλά τέ οἱ βράσσων τε νόος, λεπτὴ δέ τε μῆτις *Homerus* || 9 γίνονται *corr. ex* γίνεται V || 13 πέπεκται Ἀριστοφάνης HV; *correxi coll. Thom. Mag. pag. 25, 11 sq., schol. Aristoph. Plut. 83 (= Suidas 1 pag. 880 Bernh.), Apollon. de pron. pag. 64, 10 (Bast ad Greg. Cor. 366 et Kuehneri ausf. gramm. I² pag. 440)* || 15 συγκριτικῶν V || 16 τοῦ H, τῶν V || 19 τε *om. V* | μόνον V || 22 οὐ χωρισμένας HV || 26 εἰσι H || 30 ω̄⟨ἢ⟩ο̄: *cf. Planud.* περὶ γραμματικῆς διάλ. *in Bachm. AG. II 73, 14 sq., Favorin. pag. 1695, Philem. person. (h. e. Diassorinus) pag. 132*

βραχεῖαν, διὰ τοῦ ω̅ μεγάλου· εἰ δὲ φύσει ἢ θέσει μακράν, διὰ τοῦ ο̅ μικροῦ. τὰ δὲ εἰς η̅ς̅ εἰς ο̅υ̅ς̅ κλινόμενα τριγενῆ διὰ τοῦ εστερος, ὡς ἀληθής ἀληθέστερος. ἔστι δ'ὅτε καὶ ἀπὸ τοῦ ο̅ς̅ ὡς διὰ τοῦ ο̅τ̅ε̅ρ̅ο̅ς̅ οὕτω καὶ διὰ τοῦ εστερος ἐκφέρεται, ὡς ἄφθονος ἀφθονώτερος καὶ ἀφθονέστερος. ἤδη δέ τινες καὶ ἀπὸ τῶν εἰς υ̅ς̅ γινομένων ὡς βαρύς βαρύτερος καὶ ἀπὸ τῆς γενικῆς εἶπον βαρέος βαρεώτερος, σπανίως μέντοι. τῶν δ' εἰς υς τινὰ μὲν ἁπλῆν ποιεῖται τὴν σύγκρισιν· ἔστι δ' ἃ καὶ διπλῆν καὶ τριπλῆν. ἁπλῆν μέν, ὡς τὸ εὐρύς εὐρύτερος εὐρύτατος. διπλῆν δέ, ὡς τὸ ἡδύς γλυκύς ὠκύς· γλυκύτερος γάρ, ἀλλὰ καὶ γλυκίων γλύκιστος, οἷς ὁμοίως καὶ τὸ αἰσχρός καὶ ἐχθρός οὐ μόνον ⟨αἰσχρότερος καὶ αἰσχρότατος καὶ ἐχθρότερος καὶ⟩ ἐχθρότατος, ⟨ἀλλὰ καὶ αἰσχίων αἴσχιστος⟩ καὶ ἐχθίων ἔχθιστος. τριπλῆν δέ ὡς τὸ βραχύς βραδύς ταχύς παχύς καὶ ⟨τὸ⟩ ἐγγύς ἐπίρρημα. ὡς βραδύτερος γὰρ βραδύτατος, καὶ βραδίων βράδιστος, ὃ καὶ βάρδιστος οἱ ποιηταὶ λέγουσιν, ὡς ⟨κράτιστος⟩ κάρτιστος. σὺν οἷς καὶ ἕτερα ἐπίθετα, ἅπερ ἀφ' ἑαυτῶν μὲν οὐ ποιεῖ, δανείζεται δὲ παρ' ἑτέρων ὀνομάτων ἀρρήτων. τὸ γὰρ καλός ἔχει τὸ καλλίων ⟨κάλλιστος καὶ βελτίων⟩ βέλτιστος, ὃ καὶ βέλτερος, καὶ ἀρείων ἄριστος, ὃ καὶ φέρτερος φέρτιστος, καὶ λωΐων λῷστος. καὶ ἔτι συγκριτικὸν μόνον κρείσσων, ὃ κρέσσων Αἰολικῶς, καὶ ἀμείνων. ὡς δὲ καὶ τὸ κακός ἔχει ἔξωθεν τὸ χείρων χείριστος, ὃ καὶ χερείων χερειότερος. τὸ δὲ μέγας τὸ μείζων μέγιστος. τὸ μικρός ἐλάττων ἐλάχιστος, καὶ ἔτι τὸ ἥσσων ἄνευ ὑπερθετικοῦ. τὸ πολύς δὲ τὸ πλείων πλεῖστος καὶ ⟨τὸ⟩ ὀλίγος ταὐτὰ τῷ μικρός, εἰ καὶ τὸ μὲν τοῦ συνεχοῦς ποσοῦ, τὸ δὲ τοῦ διωρισμένου· λαμβάνεται γὰρ ὡς τὰ πολλὰ θάτερον ἀντὶ θατέρου, ὡς καὶ τὸ πολύ ἀντὶ τοῦ μέγα· πολλὸς γάρ τις, φησίν, ἔκειτο ⟨*Hom. H 156*⟩, ἤως μέγας. ἔτι ἀπὸ προθέσεων γίνονται συγκριτικά, ἀπὸ ⟨τῆς⟩ πρό τὸ πρότερος πρότατος καὶ πρῶτος, τῆς ὑπέρ ὑπέρτερος ὑπέρτατος. ἔτι ἀπὸ ἐπιρρημάτων τοῦ ἄνω καὶ κάτω ὡς καὶ ἀπὸ τοῦ πάρος παρώτερος παρώτατος. καὶ ⟨ἀπὸ⟩ τοῦ ἄπω καὶ τοῦ μάλα. ἀλλ' οἱ ποιηταὶ τῇ ἑαυτῶν ἀδ⟨ε⟩ῖᾳ καταχρησάμενοι καὶ συγκριτικῶν συγκριτικὰ πλάττουσι καὶ ὑπερθετικῶν ὑπερθετικά, ἀρειότερος καὶ λωΐτερος καὶ μειζότερος λέγοντες. καὶ ἔτι Αἰσχύλος ⟨*fragm. 434 N²*⟩ μειζονώτερος, ὑπερτε-

---

[DISCR. SCR.] **6** βαρέως HV *et Planudes*, βαρέος *Favorin. et Philem. person.* || **14** βραδίον βράδιστον HV || **15** βάρδιστον HV | οἱ ποιηταὶ *om.* V | κέρτιστον HV || **18** βέλτιστον V, βελτίστον H | βέλτερον HV | ἄριστον HV || **19** φέρτερον φέρτιστον HV | λώϊον λῷστον HV || **21** χερίων V || **23** τὸ πολύς δὲ καὶ ὀλίγος τὸ πλείων πλεῖστος ταὐτὰ τῷ μικρῷ HV || **27** ἤως HV | συγκριτικά] ἐπιρρήματα HV || **29** καὶ *ante* κάτω *om. H* | καὶ *ante* ἀπὸ *om. V* || **30** καὶ *ante* ⟨ἀπὸ⟩ *om. V* || **31** τῇ] τῆς V

ρώτερός τε καὶ χερειότερος καὶ ῥηΐτερος καὶ πλειότερος. ὡς δὲ καὶ τοῦ ὑπερθετικοῦ τὸ πρῶτος εἵλκυσαν εἰς τὸ πρώτιστος. τούτοις δὴ πᾶσιν ἀμφοῖν μεροῖν ἀνάλυσις εἰς τὸ μᾶλλον ὡς ἔφημεν καὶ ⟨μάλιστα γίνεται⟩, μᾶλλον γὰρ σοφὸς ὁ δεῖνα τοῦδε, καὶ σοφώτατος, μάλιστα πάντων ⟨σοφός⟩. οἵ γε μὴν λογογράφοι καὶ τὸ συγκριτικὸν καὶ τὸ μᾶλλον οὐ παραιτοῦνται λέγειν, ὡς Εὐριπίδης ⟨*Hecub. 377 sq. N*⟩ θανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέστερος ἢ ζῶν. καὶ τὰ ὑπερθετικὰ μεθ' ὑπερθετικῶν ἐπιρρημάτων, ὡς Ὅμηρος, ὡς τὸ οἰωνοπόλων ὄχ' ἄριστος ⟨*A 69 et Z 76*⟩, καὶ πολλὸν ἄριστος ⟨*ο 521*⟩. ὥσπερ πάλιν ἀντὶ ἁπλῶν τίθενται καὶ ἄμφω καθ' ἑνός. δεῖ δὲ ταῦτα ποιεῖν ἐν ὁμοίοις, μὴ μέντοι λέγειν, ὅτι λαμπρότερος ἥλιος γῆς, ἀστὴρ δὲ ἀστέρος, οὐδ' Ἀχιλλέως γεραιότερος Νέστωρ· γελοῖον γάρ, ὅτι ὁ μὲν γέρων ἤδη, ὁ δ' εἰς ἀνδρῶν οὐδέπω ἡλικίαν ἀφίκετο. κῆτος δὲ κητέων μέγιστον· πάντα γὰρ μεγάλα.

Συντάσσεται τοίνυν καὶ γενικῇ ὡς ἔφημεν τὸ συγκριτικόν, ἀλλὰ καὶ μεταξὺ τοῦ ἢ πίπτοντος, οἷον μείζων ὅδε ἢ ὅδε. ἤ, ὅπερ καὶ ἀττικώτερον, τῆς κατά μετὰ τὸ ἢ κειμένης σὺν αἰτιατικῇ, οἷον γυνὴ μεῖζον ἢ κατὰ γυναῖκα ἔχουσα φρόνημα. ἔτι τὰ τῶν συγκριτικῶν ἐπιρρήματα μετὰ τοῦ ἢ καὶ ἀπαρεμφάτου συντάσσεται· χαλεπωτέρως ὕβρισται ἢ ὥστε δύνασθαι καλῶς ζῆν, ἔστιν ὅτε καὶ τοῦ ὥστε λείποντος. τὸ δ' ὑπερθετικὸν ἀεὶ γενικῇ πληθυντικῶν συντάσσεται.

Πρὸς τὰ ὁμοιογενῆ μέντοι δεῖ τὴν ὑπέρθεσιν ποιεῖσθαι· ὡς, ἔνθα ⟨ἂν⟩ μὴ ὁμογενῆ ᾖ τὰ παρατιθέμενα, ἀλλ' ἓν πολλῶν μὴ ὁμογενῶν ὑπερτιθῆται, συγκριτικῶς γίνεται, ὡς ὅταν ⟨τις⟩ φῇ δεινότερον πάντων τῶν θηρίων εἶναι

[DISCR. SCR.] **2** εἵλκυσαν *Planudes* π. γρ. διάλ. *in Bachm. AG. II 75, 18:* εἵλαυσαν H, εἵλαυσαν V (*et cod. Barocc. 216 fol. 163 apud Cramerum in mus. Cantabrig. vol. II pag. 114 et apud Nauckium post lexic. Vindob.* [*h. e. lexicon Andreae Lopadiotae, cf. H. Steinii praef. ad Herodoti ed. mai., vol. I pag. LXXV sq.*] *pag. 324*) || **3** καὶ *om. V, pro* ⟨μάλιστα γίνεται⟩ *post* καὶ *septem fere litterarum spatium habet H, non habet V* || **8** ὡς Ὅμηρος HV, τίθησιν Ὅμηρος *Planudes l. c. 75, 31 sq.* | οἰονοπόλων HV || **9** πολλῶν V || **10** ἓν *pro* ἑνός HV || **11** ἥλιος *om., sed in marg. θ* H | ἀστὴρ] ἀστέρων HV || **12** γειραιότερος H || **13** πάντα *Planudes l. c. 76, 16:* ἄμφω HV || **15** τίνι συντάσσονται *lemma in HV* || **18** ἐπιρρημάτων HV || **19** ἀπαρέμφατα V | *post* ἀπαρεμφάτου *Theodor. Gaz. lib. IV pag. 127* (*ed. Basil. 1529*) *haec adiecit:* καὶ ἅμα τοῦ ὥστε ἀποστατικοῦ, *quae et Planudes et Favorin. et Philem. person. omittunt* || **20** τοῦ ὥστε] τοῦ ὡς H, τὸ ὡς V || **22** πρὸς ποῖα δεῖ ποιεῖν (ποίησον H) τὴν ὑπέρθεσιν *lemma in HV* | ὁμογενῆ *Planud. et Favorin. et Philem. person.* || **23** ὁμογενῆ ᾖ] ὁμογενεῖ εἰ HV | ὑπερτίθεται HV || **24** πάντων *Planud. l. c. 77, 7,* μὲν HV

τὸν ἄνθρωπον· οὐ γὰρ δὴ δεινότατον, ὅτι μηδ' ὁμογενῆ τὰ θηρία ἀνθρώπῳ, οἷον καὶ τὸ οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο ⟨*Hom.* σ *130*⟩· προσεπινοεῖται γὰρ πάντων τῶν ἐν γῇ ζῴων. ὃ δὴ ὑπερθετικὸν ἐνίοτε καὶ γενικῇ ⟨ἑνικῇ⟩ συντάσσεται, ὅπερ ἐστὶ καινοπρεπές, ὅταν ἐμφαντικὴ πληθυντικοῦ ᾖ, οἷον πρεσβύτατος τοῦ Ἑλληνικοῦ στρατοῦ ὁ Νέστωρ εἰς Τροίαν ἦλθεν· ἐμφαίνει γὰρ πλῆθος. καὶ ἄλλως δέ, ὅταν μὴ πρὸς πρόσωπον, οὗ ἐστιν ἡ γενική, παραβάλληται, πρὸς ἄλλα δέ τινα τῶν περὶ αὐτό, οἷον καὶ τότε ἄριστα ἑαυτοῦ διελέχθη ὁ Νέστωρ· οὐ γὰρ πρὸς Νέστορα τὸ ἄριστα, ἀλλὰ πρὸς τὰς ἄλλας αὐτοῦ δημηγορίας, ὡς ἂν εἰ ἔλεγε· τότε ἄριστα τῶν ἑαυτοῦ δημηγοριῶν διελέχθη ὁ Νέστωρ. ἔστι δ' ὅτε τὸ ὑπερθετικὸν οὐδὲ πρὸς γενικὴν ἀποδίδοται, οἷον ἕσπερος, ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστήρ ⟨*Hom.* X *318*⟩, ἀντὶ τοῦ εἰπεῖν κάλλιστος ἀστέρων, ἀντὶ γενικῆς τῆς εὐθείας λαμβανομένης. ἔτι εἰσί τινα ἀπολύτως λεγόμενα, ἃ τοσαύτην οἴκοθεν ἔχει τὴν ὑπεροχήν, ὡς μὴ δεῖσθαι πρὸς ὑπέρθεσιν ἐλθεῖν, ἀλλ' αὐτόθεν γενικῇ πληθυντικῶν συντάσσεται, ὡς τὸ δῖα θεάων ⟨*Hom.* α *14*⟩, καὶ κορυφαῖος ἢ μόνος ἁπάντων. ὧν καὶ ὑπερθετικὰ γίνεται ἔστιν ὅτε, οὔκουν ἀναγκαίως· οὐ γάρ τι τῆς κορυφῆς ἀνώτερον ἢ τοῦ μόνου μονώτερον. διὰ τοῦτο οὐδὲ συγκριτικά, μόνα δὲ ποιοῦσιν ὑπερθετικά. ἔτι ἐπὶ πάσης συγκρίσεως τρία τινὰ ἐμφαίνεται, ἢ πρόσωπα ἢ πράγματα, καίτοι τῆς συγκρίσεως ὁλοσχερεῖ λόγῳ ἐπὶ δύο γινομένης. τῷ γὰρ εἰπεῖν οὗτος ἐμοὶ γνωριμώτερος ἢ σοί τρία ἐμφαίνω πρόσωπα. ὡς δὲ καὶ τὸ οὗτος ἐμοῦ σοφώτερος· ὑπόκειται γὰρ τὸ οὗτος, ἐγὼ καὶ ἡ σοφία. ἐπεὶ δὲ τὰ μὲν ὀνόματα καὶ συγκριτικῶς προ[σ]φέρονται, τὰ δὲ ῥήματα οὐ δύναται, ἔνθεν καὶ τῷ ῥήματι τὸ μᾶλλον συντάσσεται. ἄν τε λέγω οὗτος μᾶλλον ἐμὲ φιλεῖ ἢ σέ ἄν τε μᾶλλον οὗτος οἶδε φιλεῖν ἢ μισεῖν, καὶ οὕτω τρία λέγω, τὸν ἄνθρωπον, τὴν φιλίαν, τὸ μῖσος. δυνάμεθα οὖν ἐν μὲν τῷ οὗτος γνωριμώτερος ἐμοὶ ἢ σοί τό τε συγκριτικὸν ὄνομα καὶ τὸ ῥῆμα εἰς ἓν συνάψαι ῥῆμα καὶ τὸ μᾶλλον προσθέντες εἰπεῖν οὗτος ἔγνωσται μᾶλλον ἐμοὶ ἢ σοί. καὶ αὖθις ἐν τῷ ⟨οὗτος⟩ μᾶλλον φιλεῖ ἐμὲ ἢ σέ τὸ ῥῆμα εἰς ὄνομα καὶ ῥῆμα ἀναλῦσαι καὶ τὸ μᾶλλον ἀποβαλεῖν, οἷον οὗτος ἐμοὶ προσφιλέστερος ἢ σοί. δυνάμεθα δὲ καὶ τὸ συγκριτικὸν ὄνομα καὶ τὸ μᾶλλον ὁμοῦ θεῖναι, οἷον σοφώτερος οὗτος ἐμοῦ μᾶλλον ἢ σοῦ, ἔνθα καὶ δύο συγκρίσεις ὁμοῦ γίνονται, μία μὲν ἡ τούτου πρὸς ἀμφοτέρους ἡμᾶς, ἑτέρα δὲ ἡ ἐμοῦ πρὸς σέ, ἔνθα καὶ οὐ δυνάμεθα

[DISCR. SCR.] **1** δὴ *Planud. l. c. 77, 8*, δεῖ HV | μὴ δ' HV || **4** ἐμφαντικὸν πληθυντικὸν HV || **8** διειλέχθη H, διηλέχθη V || **9** ἄριστον V || **10** διειλέχθη H, διηλέχθη V || **15** πρὸς H, τὴν V || **16** ἢ] ἡ HV || **18** μονώτερος H || **21** δὲ *om. V* || **24** ἔνθα HV (ἔνθεν *pro* ἔνθα *etiam apud Planud. l. c. 78, 18 legendum est*)

τό τε συγκριτικὸν καὶ τὸ ἐστὶν ἓν ῥῆμα ποιῆσαι καὶ μετὰ τοῦ μᾶλλον εἰπεῖν οὗτος σεσόφισται μᾶλλον ἐμοῦ ἢ μᾶλλον ἢ σοῦ διὰ τὸ προϋποκεῖσθαι τὸ ἕτερον μᾶλλον καὶ σύγχυσιν ἐν τῷ λόγῳ καὶ ἀσάφειαν γίνεσθαι.

Ἔτι λοιποῦ τοῦ ὑποκοριστικοῦ τύποι τέσσαρες· ὁ εἰς ων, οἷον μωρίων· ὁ εἰς αξ, ὡς λίθαξ· ὁ εἰς σκος, οἷον πυργίσκος, καὶ ὁ εἰς λος, ὡς ναυτίλος ὁ ναύτης. θηλυκῶν δύο, ὁ εἰς ις καὶ σκη, ὡς θεραπαινὶς παιδίσκη. οὐδετέρων εἰς, ‹ὁ εἰς ον›, οὗ παραλήξεις ὀκτώ· τὸ νι, ὡς ὀψώνιον· τὸ κι, ὡς μειράκιον· τὸ δι, ὡς παιδίον· τὸ ρι, ὡς ξυλάριον· τὸ δρι, ὡς πολύδριον· τὸ λλι, ὡς μειρακύλλιον· τὸ φι, ὡς χρυσάφιον, καὶ τὸ χνι, ὡς πολίχνιον.

Κεφάλαιον ἕκτον·

περὶ σχημάτων.

Σχῆμά ἐστι λέξεων ποσότης ὑφ' ἕνα τόνον καὶ ἓν πνεῦμα ἀδιαστάτως ἀγομένη ἐν ἁπλότητι ἢ συνθέσει. εἰκὸς γὰρ μετὰ τὸν περὶ εἰδῶν λόγον τὸν περὶ σχημάτων ποιήσασθαι. οὕτω δὲ εἴρηται διὰ τὴν σχέσιν τοῦ ὀνόματος, ᾗ ἕκαστον ὀνομάζεται. τοῦτο δὲ ἢ ἁπλοῦν ἐστιν· ἔστι γὰρ ἁπλοῦν τὸ ἐκ μιᾶς λέξεως συνιστάμενον. ἀλλ' εἰ μὲν ἐπ' ἄλλων τινῶν λέγεται τὸ ἁπλοῦν, ἔχει ἐναντίον τὸ σύνθετον· εἰ δὲ ἐπὶ ἤθους, τὸ ποικίλον καὶ πολύτροπον· ἀπὸ τούτου ἐπίρρημα τὸ ἁπλῶς, ὃ λέγεται καὶ ἀντὶ τοῦ καθόλου, τουτέστιν ἑνὶ λόγῳ πολλὰ δηλῶσαι, καὶ ἀντὶ τοῦ ἐν μέρει. σύνθετον δὲ τὸ ἐκ δύο ποτὲ ῥητῶν ποτὲ δ' ἀρρήτων· τὸ γὰρ κατάλογος ζάθεος ἄφιλος δύσμορος σύνθετα μέν, ἰδίᾳ δὲ οὐκ εἰσὶ ῥητὰ τὸ κατα καὶ ζα καὶ α καὶ δυς· μισάνθρωπος δὲ καὶ Χειρίσοφος καὶ τὰ τοιαῦτα ἐκ δύο λέξεων ῥητῶν ἑκατέρων σύγκειται.

Διαλύεται δὲ τὰ σύνθετα ἀναστρεφομένων τῶν λέξεων, ὡς Εὐριπίδης ‹*Orest.* *1514*› χαριτογλωττεῖν γλώσσῃ χαρίζῃ καὶ Σοφοκλῆς ‹*OR.* *316 sq.*› τὸ λυσιτελεῖν τέλη λύειν φησί‹ν›. ὅσα τῶν ὀνομάτων μόνῳ τῷ ᾱ συντίθεται, τούτοις ἡ σημασία στέρησιν παριστάνει· οἷς δ' οὐ μόνον τὸ α, ἀλλὰ

[DISCR. SCR.] **2** ἐσόφισται H | *prius* ἢ *om. Planud. l. c. 79, 1* || **6** ναυτίλος *corrigendum est apud Porphyrium* (?) *ad. Dionys. 857, 4* || **9** πολίδριον H || **11** πολύχνιον HV || **12** *sq.* περὶ σχημάτων κεφάλαιον ἕκτον (ἓξ H) HV || **15** τῶν περὶ σχημάτων V || **19** δ' ἐπὶ V || **21** ποτὲ δὲ ἀρρήτων ποτὲ ῥητῶν V || **22** καταλόγος H, κατὰ λόγον V | σύνθετον HV || **26** χαριττογλωττεῖν H || **27** τέλη λύειν *scripsi:* λύσιν γέλη HV, τέλη λύει *Planudes l. c. 53, 24* (*falsus Favorin. lex. 1859* τέλη λύειν *exhibens*), (ἔνθα μὴ) τέλη λύῃ *Sophocles* | μόνον τὸ ᾱ V

καὶ τὸ ε̄ῡ, ὃ δηλοῖ τὸ καλόν, ἀντικειμένως τὸ κακὸν σημαίνει. ἔτι ὅσα τῷ τε εῡ καὶ δῡς συντίθεται, ἐπειδὰν τὸ εῡ τὸ καλὸν σημαίνῃ, καὶ τὸ δῡς τὸ κακόν. ἐπειδὰν δὲ τὸ εὔκολον, ἐκεῖνο τὸ δύσκολον. Ὅμηρος δὲ ⟨*P 549*⟩ δυσθαλπῆ ἄνεμον λέγει τὸν εὐθαλπῆ, ὡς ἐκ τοῦ ἐναντίου ἀσεβής ὁ δυσσεβής.

Ἔτι τῶν ἐναντίων ὀνομάτων τῷ στερητικῷ ⟨ᾱ⟩ συναπτομένων θάτερον θατέρου μεταλαμβάνει τὴν σημασίαν, ὡς τοῦ καθαροῦ καὶ κιβδήλου ἐναντίων ὄντων ἀκάθαρτον μὲν τὸ κίβδηλον, ἀκίβδηλον δὲ τὸ καθαρόν. ἐνίοτε δὲ τἀναντία, ὡς δεσπότης καὶ δοῦλος, τῷ στερητικῷ συναπτόμενα, οἷον τὸ ἀδέσποτον καὶ ἀδούλωτον, ταὐτὸ σημαίνει.

Ἔτι παρὰ ταῦτα λέγεται τρίτον εἶδος τὸ παρασύνθετον ὡς ἐκ συνθέτου παραγόμενον καὶ εἰς ἓν ἐμπίπτον τῶν τοῦ παραγώγου εἰδῶν· Ἀγαμεμνονίδης γὰρ παρασύνθετον ὂν εἰς πατρωνυμικὸν μετέβη, Ἀγαμεμνόνειος εἰς κτητικόν.

Συνίσταται δὲ κατ' ἀρχὴν ἐκ πτώσεων τεσσάρων· εὐθείας, ὡς δορυδρέπανον· γενικῆς, ὡς Ἑλλήσποντος· δοτικῆς, ὡς Ἀρηίφιλος· αἰτιατικῆς, ὡς νουνεχής. ἀπὸ κλητικῆς οὐκ ἔστι⟨ν⟩, ἐπεὶ ἡ εὐθεῖα τρίτον σημαίνει πρόσωπον, ἡ δὲ κλητικὴ δεύτερον· συντιθεμένη δὲ καὶ γινομένη εὐθεῖα τρίτον καὶ αὐτὴ δηλοῦν ἠναγκάζετο, ὅπερ ἀδύνατον· εἰ γὰρ τὸ δεύτερον πρόσωπον πάρεστι, τὸ δὲ τρίτον ἄπεστι, πῶς ἀλλήλοις ἑνωθήσεται; τὸ γυναιμανές, γυναικομανὲς ὄν, συγκέκοπται.

Γίνονται δὲ αἱ συνθέσεις ἐκ μερῶν ἓξ τοῦ λόγου· ὀνόματος, ὡς Δημοσθένης· ῥήματος ἡγουμένου, ὡς φερέοικος· μετοχῆς ἑπομένης, ὡς πολύτλας· ἀντωνυμίας ἡγουμένης, ὡς αὐτοκίνητος· προθέσεως ἡγουμένης, ὡς πρόμαχος· ἐπιρρήματος ἡγουμένου, ὡς Ἰφιάνασσα.

Ἔτι τινὰ τῶν συνθέτων καὶ τῷ σημαινομένῳ καὶ τῇ φωνῇ σύνθετα, ὡς φιλαθήναιος· τινὰ δέ, ὡς τὸ Διόσκορος καὶ Ἀρίσταρχος, καὶ ἁπλῶς ὅσα ἐν κυρίοις, φωνῇ μόνῃ καὶ οὐ σημασίᾳ, ὡς κἀπὶ τῶν ἄλλων εἰδῶν φωνῇ μόνῃ παρηγμένα λέλεκται· τὸ γὰρ Εὐριπίδης φωνῇ μόνῃ πατρωνυμικόν, καὶ τὸ ὀφθαλμικὸς ἰατρὸς κτητικόν.

Διαφοραὶ δὲ τῶν συνθέτων τέσσαρες· ἃ μὲν γὰρ αὐτῶν ἐκ δύο τελείων, ὡς Χειρίσοφος· ἃ δὲ ἐκ δύο ἀπολ⟨ε⟩ιπόντων ⟨ἐν⟩ τῇ διαιρέσει, ὡς Σοφοκλῆς· ἃ δὲ ἐξ ἀπολείποντος καὶ τελείου, ὡς Φιλόδημος· ἃ δὲ ἐκ τελείου καὶ ἀπολ⟨ε⟩ίποντος, ὡς Περικλῆς. τέτταρες δ' εἰσίν, ὅτι πᾶν διφυὲς ἑτέρῳ διφυεῖ συμπλεκόμενον τέσσαρα σχήματα ἀποτελεῖ· τῶν γὰρ λέξεων ἢ τελείων οὐσῶν ἢ ἀτελῶν γίνονται συνθέσεις· μία ἐξ ἀτελῶν, ἑτέρα ἐκ τελείων· καὶ αἱ λοιπαὶ δύο ἀναμίξ· ἐκ τελείου ⟨καὶ ἀτελοῦς, καὶ ἐξ ἀτελοῦς καὶ τελείου⟩.

[DISCR. SCR.] 2 σημαίνει V || 4 εὐθαλπῆ HV, ἀθαλπῆ *Planud. l. c. 54, 10* || 6 μεταλαμβάνει H, λαμβάνει V || 8 συναπτόμενον HV || 11 ἐμπίπτον *(hoc accentu)* HV || 15 οὐκ ἔστι⟨ν⟩] οὐκέτι *Stephanus ad Dionys. 859, 25* || 22 *prius* ἡγουμένης *corr. ex* ἑπομένης *in HV*

Κεφάλαιον ἕβδομον·

περὶ ἀριθμῶν, πτώσεων καὶ ἐγκλίσεων.

Ὁ περὶ ἀριθμῶν λόγος ἐπαριθμείσθω τῷ περὶ σχημάτων. ἔστι δὲ ἀριθμὸς σωρεία μονάδων ἢ μονάδων σύνθεσις. τριπλῶς καὶ οὗτος, ἑνικῶς τε λαμβανόμενος, ὅτε ἓν σημαίνει, δυϊκῶς, ὅτε δύο, καὶ πληθυντικῶς, ὅτε τρία· ταὐτὸ δ' εἰπεῖν ⟨τρία⟩ καὶ πολλά· οὐ γὰρ ἔτι τρειϊκὸς ἀπὸ τοῦ τρεῖς παράγεται.

Περὶ δὲ πτώσεως ἀρκεῖ τοσάδε, ὅτι πτῶσίς ἐστιν ὀνόματος ἢ ὀνοματικοῦ τινος κατὰ τὸ τέλος γινομένη κίνησις ἢ πτωτικῆς λέξεως μετασχηματισμὸς τῆς τελευταίας συλλαβῆς ἄλλοτε εἰς ἄλλο τρεπομένης. ὀνοματικοῦ δὲ εἴρηται διὰ τὰ μὴ ὀνόματα μὲν ὄντα, ἀντὶ ὀνομάτων δὲ λαμβανόμενα καὶ πτώσεις ἐπιδεχόμενα. πέντε δὲ πασῶν οὐσῶν μόναι τὴν κλῆσιν αἱ τέσσαρες ἐξιδιοῦνται, ἅτε τῆς πρώτης ὀρθῆς οὔσης καὶ εὐθείας καὶ ὀνομαστικῆς, ἀλλὰ μὴ ἐγκεκλιμένης μηδὲ ⟨εἰς⟩ πλαγίας κλιθείσης, διὸ καὶ οὕτω κέκληται. ἡ γενικὴ δὲ κτητικὴ καὶ πατρική, ὅτι πᾶν κτητικὸν καὶ πατρωνυμικὸν ἀπὸ γενικῆς γίνεται καὶ εἰς αὐτὴν ἀναλύεται. ἐπισταλτικὴ δὲ ἡ δοτική, ὅτι ὡς ταύτῃ χρωμένων ἐν ἐπιστολαῖς καὶ τῶν δόσεων οἷον δι' αὐτῆς γινομένων ἢ ταῖς δόσεσιν αὐτῆς ἁρμοττούσης καὶ παρὰ τοῦτο καλουμένης. κατ' αἰτίαν εἴληπται ἡ αἰτιατική, ὅτι μόνην αἰτίαν σημαίνει, οἷον διὰ σὲ ταῦτα πάσχω. ἡ δὲ κλητικὴ προσαγορευτική, οἷον ὦ χαῖρ' Ἀθάνα ⟨*Soph. Ai. 91*⟩.

Ἐγκλίσεων δὲ πέρι λέγομεν, ὅτι ἔγκλισίς ἐστι βούλημα ψυχῆς διὰ φωνῆς σημαινόμενον. ἔτι ἔγκλισις λέγεται σχῆμα φωνῆς ποιὰν τῆς ψυχῆς κίνησιν ἐμφαίνουσα ἢ ὁριστικὴν ἢ προστακτικὴν ἢ εὐκτικὴν ἢ διστακτικὴν ἢ μηδεμίαν τούτων, ὡς ἡ τῶν ἀπαρεμφάτων μηδαμῆ βούλημα ψυχῆς δηλοῦσα.

Οὕτω δὴ κοινῶς τὰς ἐγκλίσεις καὶ τὰς διαθέσεις διαθέσεις οἱ παλαιοὶ ἐκάλουν, ὕστερον δὲ διακεκριμένως τὰς μὲν ψυχικὰς καλοῦσιν ἐγκλίσεις, τὰς δὲ σωματικὰς διαθέσεις τίθενται, ⌊ὡς τὸ ἐνθυμηθῆναι τύψαι, ἔπειτα ἐνεργῆσαι καὶ δρᾶσαι.

[DISCR. SCR.] 7 ὀνομαστικοῦ τινὸς H, ὀνοματικοῦ τινὸς V || 9 ὀνοματικὰ δὲ V, ὀνοματικὰ (*om.* δὲ) H || 10 τά] τὸ V | ὀνομάτων] ὀνόματος HV | πτώσις V || 11 οὐσῶν *om.* V | ἐξιδιοῦνται H, ἀξιοῦνται V || 13 κλιθείσης] κατ' αὐτάς HV || 16 δι' αὐτοῦ γινομένης HV || 20 περὶ ἐγκλίσεων *lemma in HV* || 21 *Hinc Stephanus ad Dionys. 884, 8 sq. ita est corrigendus:* ἔγκλισις δέ ἐστι ⟨σχῆμα φωνῆς ποιὰν κίνησιν τῆς⟩ ψυχῆς ἀναφαῖνον ὡς ἐπί τι τρεπομένης (*aliter correxerunt Skrzeczka in libell. schol. Regim. 1861 pag. 7 et Schoemann in annal. philol. XCIX pag. 23*) || 24 *alterum* διαθέσεις *om. V* || 25 διακεκρυμμένως H, διακεκρυμένως V | ψυχάς V || 26 ⌊διαθέσεις ⌊σωματικὰς HV | ὡς τὸ ἐνθυμηθῆναι τύψαι, ἔπειτα ἐνεργῆσαι καὶ δρᾶσαι HV, οἷον τὸ μὲν ἐνθυμηθῆναι τύψαι ἔγκλισιν καλοῦσιν, ... τὸ δὲ ἐνεργῆσαι τύψαι διάθεσιν *Choeroboscus dict. in Theodos. can. 471, 23*

Προτέτακται τῶν ἄλλων ἡ ὁριστική, ὡς τὸ θέμα τε φέρουσα καὶ τοὺς ὅλους χρόνους καὶ ἔτι ὡς ὁρίζουσα ἑκάστου ῥήματος τὴν διάθεσιν. ἔστι γὰρ διάθεσις δρᾶσις ἢ πεῖσις, ἐν αἷς διατίθεται ἡ ψυχὴ ὡς ἐνεργοῦσά τι ἢ πάσχουσα. πέντε δ' αὗται· ἐνεργητική, καθ' ἣν ἐνεργῶν τις φαίνεται· ἢ παρὰ φιλοσόφοις δραστικὴ καὶ ὀρθὴ καλεῖται· δραστικὴ μὲν ἀπὸ τοῦ δρᾶν, ὀρθὴ δ' ἐκ μεταφορᾶς τῶν ἀθλητῶν ὡς συμβαίνοντος τοῦ τοὺς νικῶντας ὀρθοὺς ἵστασθαι. αὕτη δὲ ἢ πρὸς γενικὴν ἢ αἰτιατικὴν ποιεῖται τὴν σύνταξιν, ὡς τὸ ἄρχω σου, τέμνω σε. πρὸς γὰρ δοτικήν, ὡς τὸ λέγω, γράφω σοι καὶ τὰ ὅμοια κατὰ περιποιητικὴν ἔννοιαν ποιεῖται τὴν σύνταξιν. παθητικὴ ἡ τὴν ἐξ ἑτέρας εἰς αὐτὴν μεταχωροῦσαν διάθεσιν ὁμολογοῦσα, καθ' ἣν πάσχων τις φαίνεται· ἢ παρὰ φιλοσόφοις ὑπτία καλεῖται, καὶ αὕτη ἐκ μεταφορᾶς τῶν ἀθλητῶν ὡς συμβαίνοντος ⟨τοῦ⟩ τοὺς ἡττωμένους ὑπτίους εἶναι. αὕτη τοίνυν ἀπὸ τῆς ἐνεργητικῆς γινομένη καὶ τὴν αἰτίαν τῆς συντάξεως ἐκεῖθεν εἴληφε[ν], λαμβάνουσα καὶ τὴν ὑπό, οἷον ἄρχομαι ὑπὸ σοῦ. ἡ δὲ πρὸς δοτικὰς σύνταξις περιποιητικὴ οὖσα ἐνέργειαν σημαίνει, οὐ ποιεῖ δὲ πάθος. διὸ ἡ τέμνομαι ὑπὸ σοῦ καὶ φέρομαι οὐκ ἀπὸ τῆς τέμνω σοι ἢ φέρω σοι, ἀλλὰ τῆς τέμνω σε καὶ φέρω σε τίκτεται. ἔτι παρὰ ταύτας οὐδετέρα ἡ μήτε ἐνέργειαν μήτε πάθος δηλοῦσα, ὡς τὸ ζῶ καὶ πλουτῶ. ἔτι λέγεται μέση, ἧς ὁ τύπος κατ' ἐνέργειαν κἀπὶ πάθος ⟨προάγεται⟩, ὡς τὸ πέπηγα πέπληγα. ἔτι λέγεται ἐμπεριεκτικὴ ἡ ἀμφοτέρων τῶν διαθέσεων ἐπιδεκτική, ὡς τὸ βιάζομαι ἄγομαι.

Κεφάλαιον ὄγδοον·

περὶ προσώπων.

Ἀλλ' ἤδη τοῦ περὶ προσώπων ἐχόμεθα λόγου· ἡ γὰρ τῶν προσώπων ἑτερότης καὶ ταυτότης τὰ μέγιστα δύναται. πρόσωπον δ' ἐστὶ λέξις, ἣν λέγει τις περὶ ἑαυτοῦ, ὃ καὶ πρῶτον λέγεται, ἢ περὶ τοῦ πρὸς ὃν διαλέγεται, δεύτερον καλούμενον, ἢ περὶ ἑτέρου ἀπόντος, ὃ δὴ τρίτον.

Ἐν δὴ ταῖς τῶν λόγων συνθήκαις, ἐπειδὰν τὸ πρόσωπον ὁποιονοῦν ὂν ταὐτὸν

[DISCR. SCR.] **2** ἑστάστου V | ῥήματα HV || **6** δὲ V, δὴ H || **9** ἐξ ἑτέρας HV, ἐξ ἑτέρου *scholion adespoton in Dionys. 885, 20* || **11** συμβαίνοντα HV || **14** συντάξεις V || **17** *cf. Choerob. in Theodos. 470, 19*; *Porphyrius in Dionys. 885, 11:* μέση (*l.* οὐδετέρα) δὲ ἡ μήτε ἐνέργειαν μήτε πάθος σημαίνουσα, οἷον ζῶ πλουτῶ [δύναμαι βούλομαι]. μέση δὲ ἡ ..... δηλοῦσα ⟨οἷον δύναμαι βούλομαι⟩ || **18** κατ' ἐνέργειαν V || **19** ⟨προάγεται⟩ *ex scholio adespoto in Dionys. 885, 23* || **20** ἐπιδεκτική H *et schol. adesp. in Dionys. 885, 25,* ἐπιδεικτική V || **24** μέγιστα H, μέσα V || **25** ἢ H, ἡ V || **27** περὶ συντάξεως τῶν (τῶν *om. V*) προσώπων *lemma in HV*

ἐξ ἀρχῆς καὶ εἰς τέλος ᾖ μένον, καὶ μιᾶς δεῖται πτώσεως. αὕτη δ' ἂν εἴη εὐθεῖα, τῷ τε ὀρθῷ καὶ ἀποφαντικῷ λόγῳ ἁρμόζουσα. ἐξ εὐθείας γὰρ πᾶσα γίνεται ⟨σύνταξις⟩ ἢ κλητικῆς, ὡς τῆς μὲν ποιουμένης τὰς ἀποφάνσεις, τῆς δὲ ἐπιστρεφούσης τὸν ἀκροατὴν ἐφ' ἑαυτὴν καὶ ὅτι διὰ μόνης αὐτῆς τέλειος γίνεται λόγος, ὡς τὸ Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ ⟨*Hom. B 173*⟩. ταῦτα μὲν δὴ ταύτῃ. ἐπειδὰν δ' ὁ λόγος ἐξ ἑτέρου μεταβαίνῃ πρὸς ἕτερον, οὐκ ἄδηλον, ὡς ἡ τῶν προσώπων ἑτερότης καὶ ἑτερότητα ἀπαιτεῖ πτώσεων· ἡνίκα γὰρ ἂν λέγωμεν Αἴας τῶν Ἀχιλλέως ὅπλων στερηθεὶς ἑαυτὸν διεχρήσατο, ταὐτὸ λέγομεν· ἡνίκα δ' ἂν τοῦ Πατρόκλου πεσόντος Ἀχιλλεὺς ἐξῆλθεν εἰς πόλεμον, διάφορα πρόσωπα τῇ τοῦ λόγου ἐννοίᾳ συνάπτομεν καὶ διαφόρους ἑκατέρῳ τὰς πτώσεις νέμομεν. ἔνθα μὲν ἑνὸς ὂν τυγχάνει πρόσωπον, καὶ μίαν πτῶσιν, τὴν εὐθεῖαν· ἔνθα δὲ δύο, καὶ δύο πτώσεις, ὡς τὸ Νεστορίδαι ὁ μὲν τόδ' ἐποίησεν, ὁ δὲ τόδε ⟨*Hom.* Π *317 sqq.*⟩· ἀλλ' ὁμοῦ μὲν νοουμένων ὡς ἕτερόν τι ὄντων ἢ ἑκατέρου αὐτῶν, τῶν Νεστοριδῶν δεῖ λέγειν ὡς ἑτερότητός τινος προσώπων ἐμφαινομένης. ταὐτὸ δὲ εἶναι νοουμένων ἑκατέρων ὅπερ ἀμφότεροι, Νεστορίδαι δεῖ λέγειν ὡς ταυτότητος προσώπων δηλουμένης. τοῦ δ' Ἀχιλλέως ἐλθόντος ἀμφότεροι ἐμήνισαν, Ἀχιλλεὺς δηλονότι καὶ Αἴας· οὐ γάρ ἐστιν εἰπεῖν ὡς Ἀχιλλεὺς ἐλθὼν ἀμφότεροι ἐμήνισαν· οὐ γὰρ ὥσπερ ἕτερος ὁ εἷς, ἕτεροι δὲ οἱ δύο, οὕτω καὶ ταὐτόν.

Ὡς τοίνυν ἀμέσως ἀπὸ τοῦ πρώτου προσώπου τὸ δεύτερον, οὕτω καὶ ἀπὸ τῆς εὐθείας ἡ μετάβασις ἄμεσος πρὸς γενικήν, εἰ καὶ Ἀττικοὶ δοτικὴν ἀντὶ γενικῆς λαμβάνουσι τῷ Πατρόκλῳ πεσόντι λέγοντες Ἀχιλλεὺς ἐξῆλθεν εἰς πόλεμον. τὸ μὲν οὖν προὔργου λαμβανόμενον ὡς ἀναγκαιότερον εὐθείᾳ συντάσσεται, τὸ δ' ὑποβεβηκὸς τῆς ⟨τ⟩ἀναγκαίου τάξεως γενικῇ, ὡς τὸ Πατρόκλου πεσόντος — καὶ τοῦτο ἔλαττον — Ἀχιλλεὺς ἐξῆλθεν εἰς πόλεμον — καὶ τοῦτο μεῖζον. ἐκ τοῦ ἐναντίου οὐ λέγομεν ὡς Πάτροκλος ἔπεσεν Ἀχιλλέως ἐξελθόντος εἰς πόλεμον, ἐπεὶ μὴ ὅτι ἐξῆλθεν Ἀχιλλεύς, ὁ Πάτροκλος ἔπεσεν, ἀλλ' ὅτι τὸ ἀνάπαλιν. ἔτι κρεῖττον οὕτω λέγειν· [Πατρόκλου πεσόντος] Ἀχιλλεὺς ἐξῆλθεν εἰς

[DISCR. SCR.] 1 ἐς H || 3 ⟨σύνταξις⟩ *ex Planud.* π. γρ. διάλ. *in Bachm. AG. II 46, 19* | τῆς μὲν ποιουμένης *scripsi coll. Planud. l. c. 46, 22 sq.*, τοῖς μὲν ποιουμένοις HV | ἀποφάσεις V || 6 ἑτέρου *ex* ἑτέρας *corr. H* | μεταβαίνει HV || 9 ἑαυτὸν] ἑαυτὸς (*ut videtur*) *ex* ἑαυτῷ *corr. H* || 11 ἑκατέρῳ τὰς *Planud. l. c. 44*, 7, ἑκατέρας τὰς H, ἑκατέρας V || 12 ἑνὸς HV, ἓν *Planud. l. c. 44, 8* || 13 ὁ μὲν V, δ' ὁ μὲν H || 15 νεστορίδων HV | ἐμφαινουμένης H || 17 ταυτότητι HV || 19 ἀμφότερα H | ὥσπερ ἕτερον μὲν *Planud. l. c. 44, 31 sq.* || 20 ἕτερον δὲ *Planud. l. c. 44, 32* || 21 τοῦ *om. H* || 22 Ἀττικοὶ] αἰτιατικὴν HV || 24 εὐθεία H, εὐθεῖα V || 30 πατρόκλου πεσόντος ἀχιλλεὺς ἐξῆλθεν εἶπον, εἶτ' ἐπάγειν πατρόκλου πεσόντος H, πατρόκλου πεσόντος *(ceteris omissis)* V

πόλεμον, εἶτ' ἐπάγειν Πατρόκλου πεσόντος· δεῖ γάρ τὰ πρότερον γεγονότα καὶ πρότερον ἐξαγγέλλειν, τά μέντοι ὕστερα ὕστερα διδόναι τάξει.

Δῆλον ἤδη ὅτι ἀπροσώπως οὐδὲν τῶν ῥημάτων ἐκφέρεται. καὶ γάρ καὶ τά ἀπαρέμφατα πρόσωπον ἐμφαίνουσι⟨ν⟩. εἰσὶ δὲ καί τινα ῥήματα ἀπρόσωπα λεγόμενα, ὁ πάσχουσι⟨ν⟩, ὅτι μόνου τρίτου προσώπου ἔχει χαρακτῆρα, φημὶ δὴ τὸ δεῖ χρή ἀπόχρη πρέπει προσήκει ἐνδέχεται δοκεῖ συμφέρει συμβαίνει ἐπέρχεται μέλει μεταμέλει ἔνεστιν ἔξεστι μέτεστι καὶ εἴ τι ὅμοιον. εὐαρίθμητα δέ. ἅπερ ὡς ἀπρόσωπα μάθοις ἂν ἐντεῦθεν· τά τρίτα πρόσωπα, ἃ δὴ καὶ πρῶτα καὶ δεύτερα. ἀμεταβάτως ἀεὶ εὐθείᾳ συντάσσεται, ὡς τύπτω ἐγώ, σύ, ἐκεῖνος. τούτων δ' ἐπ' οὐδενὶ εὐθεῖα φαίνεται· δεῖ γάρ μοι λέγομεν χρημάτων, καὶ οὐδὲν τούτων εὐθεῖα· τὸ ⟨δὲ⟩ δοκεῖ καὶ συμβαίνει ⟨ὅρα⟩ ὅπως ἀπρόσωπα ⟨ὄντα ὅμως⟩ οὐδὲν τῷ λόγῳ λυμαίνεται, ὅτι δοκῶ καὶ συμβαίνω. ἄλλα ἐκεῖνα ὄντα. ἐπὶ πάντων δὴ τῶν χρόνων ἴσθι ταῦτα καὶ ἑνικῶς προφερόμενα μόνως ἑνιά τε καὶ ἐπὶ πασῶν ἐγκλίσεων καὶ μετοχάς ποιοῦντα οὐδετέρου μόνου κἀκείνου μόνην εὐθεῖαν, μηδαμῶς ἐπὶ τάς ἄλλας πρᾳοῦσαν πλαγίας.

Ἀττικοὶ τοίνυν τάς ἀπροσώπους μόνας μετοχάς ταύτας ἐξ ἀπροσώπων φερομένας ῥημάτων — αἱ γάρ ἄλλαι πᾶσαι τρίτον ἐμφαίνουσι πρόσωπον, οἷα δὴ καὶ τά ὀνόματα πάντα — τῇ τοιᾷδε τοῦ λόγου φράσει συνείροντες οὐδὲν ἐνταῦθα δεινὸν ὑπώπτευσαν. μὴ σολοικίζοντες δόξωσι, λέγοντες ὁ δεῖνα οὕτω δόξαν τὸ καὶ τὸ ἐποίησε. τούτοις ἐπίσης καί τινων ῥημάτων οὐδετέρας μετοχάς ἴσθι συνταττομένας δοκούντων μὲν ἔχειν πρόσωπα, νευόντων δὲ μᾶλλον πρὸς τά ἀπρόσωπα, ὡς τὸ ἠκουσταί μοι τόδε καὶ ὅσα δὴ ταύτης τῆς συντάξεως. καὶ ὁ στρατηγός, ἀκουσθὲν αὐτῷ τοὺς πολεμίους ἥκειν, τὴν στρατιὰν εἰς πόλεμον ὥπλισε. ταῦτα δὲ λέγω εἶναι, ὅσα μὴ αὐτοπροσώπως τις ἐνεργῶν φαίνεται, ἀλλ' ἔξωθεν ἐπισύρεται τάς ἑαυτῶν ἀρχάς καὶ αἰτίας. οὐδὲ γάρ ἂν ὁ ἀκούσας ἢ γνοὺς ἢ δι' ἀποδείξεων μαθών τι ἤκουσεν ἢ ἔγνω ἢ ἔμαθεν, εἰ μή τις ἔξωθεν πρότερον εἶπεν ἢ ἐσήμηνεν ἢ ἀπέδειξεν. οἷς δὴ καὶ τρία ταῦτα παρέπεται, τό τε φῆσαν δηλαδὴ πρόσωπον καὶ

[DISCR. SCR.] **2** ὕστερα ὑστέρα H || **4** περὶ προσωπικῶν καὶ ἀπροσώπων *lemma in HV* | ἀπροσώπως H, ἀπὸ προσώπου V || **6** τρίτου *Planud. l. c. 47, 20*, πρώτου HV || **8** μέλλει H, μέλλων V || **10** ἃ δὴ HV, οἷά που δὴ *Planud. l. c. 47, 33* | εὐθεῖα HV || **11** ἐπ' οὐδενὸς *Planud. l. c. 48, 2* | εὐθεία HV | ἐμφαίνεται (*pro* ἐμφαίνει) *apud Planud. l. c. 48, 2 sq. corrigendum est* || **14** συμβαίνει V | ἀλλά H || **16** κἀκείνου *Planud. l. c. 48, 22*, κἀκείνην HV || **18** περὶ εὐθειῶν οὐδετέρων ἢ μετοχῶν ἢ ὀνομάτων τῶν ἀντὶ γενικῆς ἀττικῶς εἰλημμένων *lemma in H, idem lemma praemissis* κεφάλαιον ἔνατον *in V* || **19** αἱ H, καὶ V || **20** τοιᾶδε H, τοιάδε V *et Planud. l. c. 48, 27* || **21** ὑπόπτευσαν HV | ὀδῖνα V || **22** οὐδετέρους HV || **23** ἔχει V || **24** μοι H, μου V

τὸ λεχθὲν πρᾶγμα καὶ ἔτι τὸ ἀκοῦσαν πρόσωπον· ἐπεὶ ὅσοις γε δύο μόνα παρέπεται, ἤτοι πρόσωπα, ἢ πρᾶγμα καὶ πρόσωπον, καὶ αὐτοπρόσωπον καὶ οἴκοθεν τὴν ἐνέργειαν ἔχει, οὐδενὸς ἔχεται λόγου τῇ τοιᾷδε χρῆσθαι συντάξει· τοῦ γὰρ ἀποδέδεικταί μοι καὶ γέγραπταί μοι τόνδε τὸν τρόπον νοουμένου ὡς ἔγωγε ἀπέδειξα ἢ ἔγραψα κακῶς ἂν ἔχοι λέγειν ὡς ἔγωγε ἀποδειχθέν μοι τόδε δίκαιον εἶναι ἡσύχασα· ἢ γραφέν μοι τὸ βιβλίον ἀνεπαυσάμην. ὀρθότατα δ' ἂν λέγοι, ὃς ἀποδειχθέντος λέγει τοῦ πράγματος ἢ τοῦ βιβλίου γραφέντος.

<Κεφάλαιον ἔνατον>·

<περὶ χρόνων>.

Ἐντεῦθεν ὁ περὶ χρόνων λόγος ἐμπίπτει, πολυσχιδὴς μὲν καὶ ποικίλος, ἀναγκαῖος δ' οὖν ὡς οἷόν τε λέγεσθαι. ἔστι δὲ χρόνος τὸ συμπαρεκτεινόμενον τῇ συστάσει τοῦ κόσμου διάστημα, ᾧ πᾶσα μετρεῖται κίνησις, εἴτ' ἀστέρων εἴτε ζῴων εἴτε οὑτινοσοῦν τῶν κινουμένων, ῥῦσίς τις οἱονεὶ ὢν ὡρική. ὃν εἰς δύο διαιροῦντες φιλόσοφοι τὸν μὲν μηκέτι ὄντα παρεληλυθότα ὠνόμασαν, τὸν μήπω μέντοι μέλλοντα. ἐνεστῶτα δὲ οὐ λέγουσιν, ὅτι μηδὲ διάστημα ἓν ἀκαριαῖον νοηθήσεται τῆς τοῦ κόσμου κινήσεως τὸν παρεληλυθότα περιέχων καὶ ἔτι τὸν μέλλοντα. ἔτι εἰ ὁ χρόνος ἐν κινήσει, ἡ δὲ κίνησις ἄστατος, πῶς οἷόν τε ἐνεστῶτα εἶναι ἀπὸ τοῦ ἑστάναι, οἷον κίνησιν ἱσταμένην;

Λέγοιτο δ' ἂν ἐνεστὼς ἐπὶ κινηθέντος καὶ κινηθησομένου ἐνδίκως, εἴπερ ἦρκται τοῦ κινεῖσθαι, μήπω δὲ πέπαυται, ἀλλ' ἔτι καὶ μέλλει, τὸ μέσον τῆς τε προκαταρχούσης κινήσεως καὶ μελλούσης ἐνιστάμενον κίνημα. καὶ ἄλλως δὲ φέρεται μέγιστα τὰ πρεσβεῖα κατὰ τῶν ἄλλων χρόνων ὁ ἐνεστώς, εἴγε ὁ μὲν ἔστιν, οἱ δ' οὐκ εἰσίν, ὁ μὲν τῷ ἤδη οἴχεσθαι, ὁ δὲ τῷ ἔτι προσδοκᾶσθαι. ἔτι εἰ τὸ <μὲν> παυσάμενον ἤρξατο, τὸ δ' ἀρξάμενον ἠρεμοῦν ἦν, ἡ τῆς κινήσεως ἀρχὴ ἐνεστὼς ἂν λέγοιτο· μέλλων γὰρ οὐκ ἂν λέγοιτο, τῆς κινήσεως οἷον κινηθείσης καὶ ἠργμένης· ἀλλ' οὐδὲ παρεληλυθώς·

[DISCR. SCR.] 3 τοιᾶδε H, τοιάδε V || 5 κακῶς *Planud. l. c. 49, 26*, καλῶς HV || 6 τὸ δὲ HV | εἶναι H, εἶναι καὶ V || 16 ἓν ἀκαριαῖον HV, ἐν ἀκαριαίῳ *Stephanus ad Dionys. 889, 13* || 17 περιέχων] πέριξ ἔχων H *Schmidt doctr. temp. 1 pag. 3* | *verbis* ἔτι εἰ ὁ χρόνος *e. q. s. haec:* ἑτέρα αἰτία ὅτι οὐκ ἔστιν ἐνεστὼς *lemmatis loco adduntur in HV* || 18 ἐν κινήσει *pro* ἐν ἀκινησίᾳ *Porphyrio (?) ad Dionys. 888, 26 reddendum est* || 20 ἐκ τοῦ ἐνα<ν>τίου ἀπόδειξις ὅτι ἔστιν ἐνεστὼς V, ἑτέρα ἀντιθετικὴ ἀπόδειξις ὅ. ἔ. ἐν. *H huic sectioni inscribunt* || 21 ἦρκται *scripsi*, εἴρηται HV || 22 προκατασχούσης HV || 23 φέρεται HV, φέρει *Planud. l. c. 6, 19* || 24 οἳ δ' HV | ἤδη] εἴδη HV || 25 παυσόμενον H | τὸ δὲ H || 27 παρεληθὼς V

πῶς γάρ, μήπω κινηθείσης; ἡ τοίνυν ἐπινενοημένη στάσις, ἀφ' ἧς ἡ ἀρχὴ οἷον εἰπεῖν ἤρξατο, ἐνεστὼς ἂν λέγοιτο, ἐπεὶ μήτε μέλλων, ἀλλ' οὐδὲ παρεληλυθώς ἐστιν. χρόνος ἐστὶ μέτρον τῆς τοῦ ἡλίου κινήσεως. τοῦ τοίνυν ἐνεστῶτος ἀκαριαίου ὄντος καὶ δίκην στοιχείου ἀμεροῦς μένοντος καὶ ἀτμήτου, οὐδὲ μία διαφορά. ὃν καὶ ὁριζόμενοί φαμεν· ἐνεστώς ἐστιν ὁ ἐνισταμένην καὶ ἀπλήρωτον ἔχων τὴν σημασίαν. παρατατικὸς δὲ τετραχῇ ὑποδιήρηται, ὡς παρατεταμένην καὶ ἀπλήρωτον ἔχων τὴν σημασίαν. ἢ γὰρ παράτασιν ἔχουσιν ἐκ πολλοῦ γινομένην τὰ παρατατικὰ καὶ οὔπω πεπλήρωται, καὶ οὕτω γεννῶσι τὸν παρώνυμον αὐτῶν. ἢ νεωστὶ παρῆλθον καὶ γίνεται κατ' ἐτυμολογίαν ὁ παρακείμενος· παρακείμενος γάρ ἐστιν ὁ τὴν ἐνέργειαν ἢ τὸ πάθος ἔχων παρακείμενα τῷ ἐνεστῶτι· διὸ καὶ ἐνεστὼς ἀρτίως πεπαυμένος εἶναι λέγεται. ἢ πρὸ πολλοῦ παρῆλθον τὰ παρελθόντα, καὶ γίνεται ὁ ὑπερσυντέλικος, <ὃν> παρακείμενον λέγομεν εἶναι πεπληρωμένον. ἀδήλου δὲ οὔσης ἤδη τῆς συμπληρώσεως, πότ' ἄρ' ἐγένετο, ἤτοι νεωστὶ ἢ πρὸ πολλοῦ δέ, [καὶ] γίνεται ὁ ἀόριστος, ὃς καί, εἰ προσλάβοι τὸ ἄρτι, ἰσοδυναμεῖ τῷ παρακειμένῳ, ὃς ἔχει σύμφυτον ἑαυτοῦ τὸ ἄρτι· εἰ δὲ τὸ πάλαι, τῷ ὑπερσυντελίκῳ, ὃς αὐτὸ ἐκληρώσατο· τὸ γὰρ ἄ ρ τ ι ἔ τ υ ψ α ταὐτὸ τῷ τ έ τ υ φ α· τὸ δὲ π ά λ α ι ἔ τ υ ψ α ταὐτὸ τῷ ἐ τ ε τ ύ φ ε ι ν. μέλλοντος διαίρεσις οὐκ ἔστιν ἀγνώστου ὄντος. πῶς <γὰρ> ἂν τἀγνοούμενον διαιρεθείη; οὐ γὰρ ἂν ἀγνοοῖτο. ἀλλ' Ἀθηναῖοι διεῖλον <αὐτὸν εἰς μέλλοντα> καὶ εἰς μετ' ὀλίγον μέλλοντα, οὔκουν ἐκτόπως. πάντες μὲν οὖν ἓξ οἱ χρόνοι. συγγένειαι δ' αὐτῶν τρεῖς· ἐνεστῶτος πρὸς παρατατικόν, παρακειμένου πρὸς ὑπερσυντέλικον καὶ ἀορίστου πρὸς μέλλοντα· τῶν μὲν ὡς ἀπλήρωτον ἐχόντων τὴν σημασίαν, εἰ καὶ ὁ μὲν ἐνισταμένην, ὁ δὲ παρατεταμένην ἔχει· παρακειμένου δὲ καὶ ὑπερσυντελίκου ὡς πεπληρωμένην, εἰ καὶ ὁ μὲν ἄρτι, ὁ δὲ πάλαι, ἢ ὡς ἄρτι, ὅπερ οὐ ταὐτὸν τῷ ἄρτι· ἀορίστου δὲ καὶ μέλλοντος ὡς ἄδηλον ἐχόντων τὴν σημασίαν, εἰ καὶ ὁ μὲν κατὰ τὸ παρελθόν, ὁ δὲ κατὰ τὸ μέλλον. ἔτι οὐ μόνον κατὰ σημασίαν, ἀλλὰ καὶ φωνὴν αἱ συγγένειαι γίνονται· τὰ γὰρ αὐτὰ σύμφωνα ἔχει ὁ ἐνεστὼς τῷ παρατατικῷ, ὁ παρακείμενος τῷ ὑπερσυντελίκῳ καὶ ἀόριστος μέλλοντι. ὡς καὶ τῶν πτώσεων εὐθείας εἰς αἰτιατικήν, γενικῆς εἰς δοτικὴν καὶ κλητικῆς πρὸς εὐθεῖαν καὶ αἰτιατικήν.

Ἔτι αὔξησιν, ἣν μὴ εἶχεν ὁ ἐνεστώς, προσελάβετο ὁ παρατατικός, ὡς δὲ καὶ

[DISCR. SCR.] **3** ἀκαριαίας HV || **4** οὐδὲ οὐδὲ μία H || **6** παρατατικὸς HV, παρεληλυθὼς *Dionysius Thrax 53, 1 Uhlig.; cf. Choerob. ad Theodos. can. 480, 16 sqq., Steph. ad Dionys. 889 sq., Priscian. VIII 38 sq., alios* | τετραχῇ H, τετραχῶς V || **12** γίνεται] γὰρ HV | παρακείμενος HV | πεπληρωμένος HV || **15** σύμφοιτον H | αὐτὸ] αὐτῷ HV || **18** οὐ γὰρ ἂν H, οὐκ ἂν V || **19** μετολίγον HV || **25** ἐχόντων H, ἔχων V || **28** ὑπερτελίκῳ V || **29** γενικὴν H | κλητικὴν HV || **31** ἣν *Planud. l. c. 13, 18,* ἦν HV | παρατατικός *Planud. l. c. 13, 17,* παρακείμενος HV

ὁ ὑπερσυντέλικος, ἣν μὴ εἶχεν ὁ παρακείμενος, ἢ χρονικὴν ἢ συλλαβικήν. φαίη δ' ἄν τις ὡς ἐπὶ τοῦ ὤρυχα καὶ ὠρύχειν τίνα αὔξησιν προσειλήφει ὁ ὑπερσυντέλικος; ἀλλ' ἡ τῶν Ἀθηναίων διάλεκτος. ‹οὗτοι γάρ›, ἐφ' ὧν τὸ ῥῆμα ἀπὸ ᾱ ἢ ε̄ ἢ ο̄ ἄρχεται, ἴδιον ποιοῦσι παρακείμενον, ὡς ὤρυχα ὀρώρυχα λέγοντες δυοῖν εἵνεκεν· ἑνὸς μέν, ἐπεὶ τὴν αὔξησιν ὁ παρακείμενος ἔχει ἀεὶ μείζω ἢ ὁ παρατατικός, ὡς ἔτυπτον τέτυφα. δειχθήτω δὲ ἐπὶ τῶν ἀπὸ τῶν τριῶν τούτων φωνηέντων ἀρχομένων ἑνός, τοῦ ὀρύσσω. ηὔξηται μὲν ὁ παρατατικὸς ἐπὶ τὸ ω̄· οὐκ ἦν δὴ τῷ παρακειμένῳ καθ' ὃ μεῖζον αὐξηθήσεται. τούτου χάριν ἔξωθεν Ἀττικοὶ τὴν αὔξησιν ἐπήνεγκαν· ἐπὶ γὰρ τῶν λοιπῶν τεσσάρων φωνηέντων οὐδὲν ποιοῦσιν οὗτοι. δευτέρου δέ, ἵνα ταὐτὸν ᾖ στοιχεῖον τῷ τε ἐνεστῶτι καὶ παρακειμένῳ κατὰ τὴν ἄρχουσαν. καὶ τρίτου ἔτι τοῦ καὶ τὸν ὑπερσυντέλικον ἔχειν καθ' ὅτι ἂν αὐξηθῇ. ἑκάστου δὴ χρόνου κατ' ἐκεῖνον τὸν καιρὸν λεγομένου, ἡνίκα ἢ ἔστιν ἢ ἦν ἢ ἔσται, λόγος γίνεται ὑπερσυντελίκῳ πρὸς παρακείμενον, ὃς καὶ παρατατικῷ πρὸς ἐνεστῶτα, καὶ ἐναλλὰξ ὁ αὐτὸς λόγος παρατατικῷ πρὸς ὑπερσυντέλικον, ὃς ἐνεστῶτι πρὸς παρακείμενον. λαμβάνονται δὲ παρακείμενοι ἀντὶ ἐνεστώτων, ὡς δέδοι‹κ›α πέφρι‹κ›α, καὶ ὑπερσυντέλικοι τούτων ἀντὶ παρατατικῶν. [τὸ γὰρ γλίσχρον ἤ τι τῶν διερρυηκότων δρὰξ λαβοῦσα καὶ σφίγγουσα οὔκουν τοσοῦτον περιέξει, ὅσον τὴν ἀρχὴν εἰλήφει· τὸ γὰρ πολὺ τὰς τῶν δακτύλων ἁρμογὰς ἐκβιασάμενον ἐκθλιβήσεται]. ἔτι συγγένεια ἐνεστῶτος καὶ παρακειμένου τὸ δέχεσθαι ἄμφω ἀναδιπλασιασμούς, τὸν μὲν διὰ τοῦ ῑ προστιθεμένου δηλαδὴ τοῦ κατ' ἀρχὰς στοιχείου, ὡς δῶ διδῶ, πρῶ πιπρῶ· τὸν δὲ διὰ τοῦ ε̄, ὡς κύπτω κέκυφα. ἐπὶ τοῦ στῶ οὐ στιστῶ λέγεται, ἀλλ' ἱστῶ, ὅτι ἐφ' ὧν ἡ πρωτίστη συλλαβὴ ἢ ἀφ' ἑνὸς τῶν διπλῶν ἄρχεται ἢ δύο συμφώνων, ὧν ἡγεῖται τὸ σ̄, ἢ τοῦ ρ, οὐκ ἔστιν ἀναδίπλωσιν διὰ συμφώνων γενέσθαι. τὸ δὲ αἴτιον ἡ δυσχέρεια τῆς προφορᾶς. ἀλλ' ἐν μὲν ἐνεστῶτι τὸ ῑ μόνον βραχυνόμενον· ἐν δὲ παρακειμένοις ὁμοίως τὸ ε̄. καὶ δὴ καὶ τὰ δασέα οὐκ ἀναδιπλασιάζουσιν Ἕλληνες διὰ δασέων διὰ τὸ δυσέκφορον, ψιλῶν δ' ἀντιστοίχων, ὡς θῶ τιθῶ, φάσκω πιφάσκω, χρῶ κιχρῶ. ἀλλὰ τί δήποτε κατὰ

[DISCR. SCR.] 1 *verbis quae sunt* φαίη δ' ἄν *e. q. s. adscribunt lemmatis loco*: ἀντίθεσις HV || 3 *verbis quae sunt* ἀλλ' ἡ τῶν *e. q. s. lemma adscribunt* ἀντίστασις HV | ὧν H, ᾧ V || 5 ἔχει ἀεὶ] ἔχειν δεῖ HV | μείζων V || 7 παρατατικὸς *Planud. l. c. 13, 35*, παρακείμενος HV | τὸ] τῶ H, τοῦ V || 9 τεσσάρων H, διφθόγγων V || 12 καθότι V || 14 καὶ παρατατικῷ] καὶ παρατατικὸς HV | παρατατικοῦ *pro altero* παρατατικῷ H || 16 δέδοια πέφρια V, δέδοιε πέφριε H | ὑπερσυντέλικος H || 17 παρατατικῶν] παρακειμένων HV (*ut codex Planudae 13, 14*) | *17—19 quae cancellis inclusi utpote huic loco parum apta, ea leguntur apud Planud. l. c. 8, 9-13* || 24 τὸ σ̄, ἢ τοῦ ρ̄ *scripsi coll. Planud. l. c. 14, 27*: τὸ ρ̄ ἢ τὸ σ̄ HV | ἀναδίπλωσις HV || 25 ἐν μὲν τοῖς ἐνεστῶσι *Planud. l. c. 14, 30*

τὴν ἀναδίπλωσιν ἐνεστῶτι μὲν τὸ ῑ, παρακειμένῳ δὲ τὸ ε̄ ἀποκεκλήρωται; † ἔτι τῶν ἄλλων παρεληλυθότων τὴν ἰδίαν ἀποβαλλόντων αὔξησιν, ἐπειδὰν εἰς ἑτέρας μεταβῶσιν ἐγκλίσεις, μόνος ὁ παρακείμενος τὴν ἰδίαν φυλάττει ἀμείωτον, ὥσπερ οὐδ' ὁ ἐνεστὼς ἀποβάλλει ποτὲ τὴν οἰκείαν ἄρχουσαν συλλαβήν.

Παράκειται δὲ τοῖς εἰρημένοις ἓξ χρόνοις καὶ μέσοι τινές. τὸ δὲ διαλλάττον οὐδὲν κατά γε τὴν τῶν χρόνων διαίρεσιν, πλάτος δ' ἐμφαίνουσι μόνον τῆς Ἑλληνικῆς διαλέκτου. μέσων δὲ κλῆσιν ἔχουσι⟨ν⟩, ὅτι προφορᾶς παθητικῆς τυχόντες ἐνεργητικὴν ἐκληρώσαντο σημασίαν, ὡς ἀκούσομαι θήσομαι λούσομαι, ἐλουσάμην ἠνεγκάμην ἐδρεψάμην, τοῦ δὴ ποιεῖν καὶ πάσχειν παρὰ τὴν τῶν προσώπων ἑτερότητα γινομένου. ὁ γὰρ τύπτων ἕτερον τύπτων ποιεῖν λεχθήσεται, ὁ δὲ τυπτόμενος ὑφ' ἑτέρου τυπτόμενος πάσχειν· οὕτω δὴ καὶ ⟨ὁ⟩ λουόμενος, ἂν μὲν παρ' ἑτέρου λούηται, πάσχει· εἰ δ' αὑτὸν λούει, θάτερον περὶ αὑτοῦ οὔπω, ἀλλ' ἀναγκαίως ἐν τῷ ποιεῖν τετάξεται, εἴπερ ὑφ' ἑτέρου μὲν οὐ λούεται, αὐτὸς δ' αὑτὸν λούει. οὐδ' οὖν τοῦτ' ἂν εἴποις, καὶ τὸν σκάπτοντα πάσχειν καὶ τὸν φερόμενον ἐφ' ἵππου, ὡς μὴ κάμνοι βαδίζων, ἐργάζεσθαι, ἐπεὶ μὴ κάμνοι, καίτοι τοῦ μὲν ἐργαζομένου, τοῦ δὲ πάσχοντος· ὁ μὲν γὰρ σκάπτει, ὁ δὲ φέρεται. ὃ δὲ δηλοῖ πάθος, τὸ λουθήσομαί ἐστι καὶ ἐλούθην καὶ ὅσα ὅμοια τοῖσδε. ἔτι τὸ πείσομαι καὶ μέσου ὂν ὅμως παθητικόν ἐστιν· οὐ γὰρ ταῖς τῶν ῥημάτων γραφαῖς ἐμφυόμενον σκοπεῖν δεῖ καὶ κατ' αὐτὰς ἀπαιτεῖν τὴν σημασίαν· τὸ γὰρ ἔρρειν καὶ πάσχειν ἐνεργητικῶς προφερόμενα παθητικῆς ἐστι σημασίας· πυνθάνομαι δὲ καὶ ἐργάζομαι τὸ ἀνάπαλιν. οὐδὲ γὰρ τῆς φύσεως τοῦτο τῆς διαθέσεως, ἀλλὰ τοῦ ῥήματος. καὶ ἄλλως τὸ παθεῖν αὐτὸ πάθος ἐστί[ν] καὶ τοῖς ἄλλοις παθητικοῖς μεταδίδωσι⟨ν⟩. [ἰστέον δὲ ὅτι τὸ ὅμοιον τετραχῶς· ἡνίκα ἡ αὐτὴ ποιότης ἐν ὅλῳ τῷ εἴδει θεωρεῖται, οἷον πάντες κύκνοι ὅμοιοι κατὰ τὸ λευκόν. ἔτι ἡνίκα ἡ αὐτὴ ποιότης ἐν διαφόροις εἴδεσι θεωρεῖται κατὰ τὸ μᾶλλον καὶ ἧττον· τὸ γὰρ λευκὸν πέπερι καὶ μέλαν θερμά, ἀλλὰ τὸ μὲν μᾶλλον, τὸ δ' ἧττον. ἡνίκα τε διάφοροι ποιότητες ἐν διαφόροις εἴδεσι θεωροῦνται· φάττα γὰρ καὶ περι-

---

[DISCR. SCR.] 1 *post* ἀποκεκλήρωται *duorum versuum et dimidii in H, unius versus spatium vacuum relinquitur in V* || 3 μόνος *Planud. l. c. 15, 19,* μόνον HV | ἀμείωτον *Planud. l. c. 15, 20,* ἀφθείωτον HV || 4 οἰκεῖαν HV || 7 μέσων δὲ κλῆσιν H *et Planud. l. c. 7, 33,* μέσον δὲ κλήσεως V || 9 *post* ἐδρεψάμην *unius paene versus spatium vacuum relictum in H* || 10 ἕτερον *Planud. l. c. 9, 2,* ἕτερα HV | ποιεῖν HV, τύπτειν *Planud. l. c. 9, 2* || 11 πάσχει V | *verba quae sunt* οὕτω δὴ — 12 πάσχει (*unius versus spatium explentia*) *om. V* || 12 αὐτὸν λούῃ H, αὑτὸν λούει V || 14 αὑτὸν] αὐτὸν HV *et Planud. l. c. 9, 6* | οὖν H, αὖ V || 16 καίτοι H, καί τι V || 17 λουθήσομαι *Planud. l. c. 10, 22,* λουθησόμενον. HV || 18 *verbis quae sunt* ἔτι τὸ πείσομαι *e. q. s. sic inscribunt HV:* περὶ μέσων παθητικῶν (παθητικοῦ V) πάθος σημαινόντων || 19 ἐμφυόμενον H *et Planud. 11, 30,* ἐκφυόμενον V || 20 προφερόμενον H, προσφερόμενον V || 23 ἡ αὐτὴ] ἑαυτὴ V, ἡαυτὴ H || 25 ἡ αὐτὴ] καὶ αὐτὴ HV

στερὰ ὅμοια ὡς ἔχοντα καὶ ἄμφω μέλαν, λευκὸν καὶ ξανθόν. λοιπὸν τὸ ἐπὶ εἰκόνος ἢ παραδείγματος· ἡ γὰρ εἰκὼν Σωκράτους ὁμοία Σωκράτει· παράδειγμα δὲ λέγεται τὸ ἀρχέτυπον, καὶ οὐ εἰκὼν ἡ εἰκών.] ταῦτα μὲν δὴ κείσθω· σαφηνιεῖ γὰρ ταῦτα προϊὼν ὁ λόγος. περὶ δὲ συζυγιῶν ἑξῆς λεκτέον.

Κεφάλαιον δέκατον·

περὶ συζυγιῶν.

Ἔστι δὲ συζυγία ἀκόλουθος ῥημάτων κλίσις, ἐκ μεταφορᾶς οὕτω ῥηθεῖσα τῶν ὑποζυγίων ὑπὸ τὸν αὐτὸν ζυγὸν ἴσον δρόμον ποιουμένων. ὡδὶ γὰρ καὶ ταυτί, ὅσαπερ ὑπὸ τὴν αὐτὴν συζυγίαν ἀνάγεται, μίαν ποιεῖται κλίσιν, ὡς ἐκεῖνα συζυγία καλεῖται, ἡ συνεζευγμένη καὶ οἱονεὶ ὑφ' ἕνα ζυγὸν οὖσα κλίσις ῥημάτων. καὶ τοῦτο αὕτη ἐν ῥήμασι δύναται, ὃ χαρακτὴρ ἐν ὀνόμασι· διαφόρους γὰρ φωνὰς ὑπὸ μίαν κίνησιν ἄγει. ὡς δὲ φαμεν· τὰ εἰς ος ἀρσενικὰ τοιῶσδε κλίνομεν, καὶ τὰ εἰς ης σπονδ⟨ε⟩ιακὰ τοιῶσδε, οὕτω καὶ ἐν ῥήμασι[ν] λέγομεν· ὅσα διὰ τοῦ β φ π ἐκφέρεται ῥήματα κατὰ τὸ θέμα, ὡδὶ κλίνομεν. εἰ γὰρ ἀλλήλοις συζυγεῖ τὰ ῥήματα· πάντα μίαν καὶ ἀκολούθως ἀλλήλοις κίνησιν ποιεῖται· ἀκόλουθος γὰρ ῥημάτων κλίσις τὸ ἰδίᾳ ἑκάστην συζυγίαν ἀκολούθως ἑαυτῇ καὶ συμφώνως κλίνεσθαι.

Καίτοι φασὶ τὰ μὲν ῥήματα ἀσύζυγα, τὰς δ' ἀντωνυμίας συζύγους· ὅπερ ἄντικρυς ψεῦδος, ἐπεὶ τῷ ῥήματι αἱ συζυγίαι παρέπονται, ὡς ἐν τῷ ⟨περὶ⟩ τῶν παρεπομένων λόγῳ δειχθήσεται, ταῖς δ' ἀντωνυμίαις οὐχί.

Ἀλλ' οὐ κατὰ τοῦτο, ὅτι δὲ τὰ μὲν ῥημάτων πρῶτα καὶ δεύτερα πρόσωπα ὡρισμένα, ἀόριστα δὲ τὰ τρίτα, αἱ δ' ἀντωνυμίαι ὡρισμένων εἰσὶ προσώπων δηλωτικαί, διὰ τοῦτο αἱ μὲν σύζυγοι, τὰ δὲ ἄζυγα λέγουσιν οὗτοι ψευδῶς.

Αὕτη μὲν δὴ πρώτη συζυγία βαρυτόνων — αἱ μὲν γὰρ βαρύτονοι, αἱ δὲ περισπώμεναι, αἱ δὲ τῶν εἰς μι — ἡ διὰ τοῦ β ἢ φ ἢ π ἢ πτ ἐκφερομένη. ὡς μὲν γὰρ πρώτη συζυγία τὸ πρῶτον σύμφωνον ἔλαβεν, ὃ μέσον τοῦ π καὶ φ, καὶ διὰ τοῦτ' ἔσχε καὶ ταῦτα καὶ ὅτι ἀντίστοιχα ἀλλήλοις. ἔπειθ' ὑπεισελθὸν τὸ π τὸ τ κατὰ πλεονασμὸν τέταρτον σχῆμα τῆς πρώτης συζυγίας βαρυτόνων ἐποίησεν, ὡς καὶ ἐν γενικῇ τοὔνομαι, ἄναξος ἄνακτος, γάλακος γάλακτος, νυχός νυκτός· ἀναλογεῖ γὰρ ὁ ἐνεστὼς τῇ γενικῇ. ὁμοίως

[DISCR. SCR.] 1 καὶ *ante* ἄμφω *om. V* | *ante* λοιπὸν *inscriptionis loco haec :* κεφάλαιον δέκατον· περὶ συζυγιῶν *add.* H || 2 δὲ] γὰρ HV || 3 *quae uncinis inclusi (pag. 38, 23 — 39, 3), ea parum apte hic posita esse facile apparet. eadem fere eisdem verbis leguntur appendicis instar apud [Ioann. Damascen.] opp. I pag. 39 (ed. Paris. 1712), ubi de homonymis agitur* || 5 *sq. inscriptionem hoc loco omittit H* || 17 ἀντίθεσις *lemma in HV* | καίτι V || 20 ἀνάλυσις τῆς ἀντιθέσεως *lemma in HV* || 21 τρία V || 25 πρῶτον] ᾱ H, *om. V* || 26 ὑπεισελθὼν V || 28 γάλακος *om. V* || 29 νυχός *pro* νυκός *Choerobosco restituendum 481, 21 coll. 313, 27 sqq.*

κἀν τῇ δευτέρᾳ σύνεστι τὸ τ τῷ κ· τὰ γὰρ ψιλὰ ψιλῶν ἡγεῖται, τὰ δὲ δασέα δασέων καὶ τὰ μέσα μέσων. ἧς ὁ μέλλων [αὐτῆς] διὰ τοῦ ψ, ὅτι καὶ τὰ εἰς ψ λήγοντα ὀνόματα διὰ τοῦ β ἢ π ἢ φ κλίνεται, ὡς τὸ Λιβός κλωπός Κίνυφος.

Ἡ δευτέρα διὰ τοῦ γ ἢ κ ἢ χ ἢ κτ· ἔσχε γὰρ καὶ αὐτὴ τὸ δεύτερον σύμφωνον δευτέρα οὖσα, ὃ μέσον ἐστὶ τοῦ κ καὶ χ ἀντιστοίχων ἀλλήλοις. ἧς ὁ μέλλων διὰ τοῦ ξ, ὅτι καὶ τὰ εἰς ξ λήγοντα ὀνόματα διὰ τοῦ γ ἢ κ ἢ χ ⟨κλίνεται⟩, ὡς ὄρτυγος κήρυκος ὄνυχος.

Ἡ τρίτη διὰ τοῦ δ ἢ θ ἢ τ, τοῦ μὲν δ, ὡς τρίτου ὄντος συμφώνου, τοῦ δὲ θ ⟨καὶ⟩ τ, ὡς ἀντιστοίχων ἀλλήλοις, ὧν μέσον τὸ δ. ἧς ὁ μέλλων διὰ τοῦ σ, ὅτι καὶ τὰ εἰς σ λήγοντα ὀνόματα διὰ τοῦ δ ἢ θ ἢ τ κλίνονται κατὰ περιττοσυλλαβίαν.

Ἡ τετάρτη διὰ τοῦ τετάρτου ⟨συμφώνου⟩, τοῦ ζ ἢ δύο σσ· τὸ γὰρ ἓν σ χαρακτηριστικὸν μέλλοντος βαρυτόνου, ὡς ᾄδω ᾄσω· οὐκ ἠδύνατο γοῦν εἶναι καὶ ἐνεστῶτος βαρυτόνου· διὸ ἀναδιπλασιασθὲν ἐπλήρωσεν ἴσην δύναμιν διπλῷ. ἐνεστῶτος εἴρηται βαρυτόνου διὰ τὸ φυσῶ νοσῶ· ἀλλ' εἰ καὶ τὸ σ τούτους χαρακτηρίζει καὶ ἐνεστῶτές εἰσιν, ἀλλὰ περισπώμενοι. βαρύτονον μέλλοντα μὴ δύνασθαι χαρακτηρίζειν εἴπομεν διὰ τὸ κείρω κερῶ· τὸ γὰρ ρ τῆδε χαρακτηριστικὸν μὲν ἐνεστῶτος βαρυτόνου· καὶ μέλλοντος δέ, ἀλλὰ περισπωμένου.

Ἡ πέμπτη, ἐπεὶ μὴ εἶχε τὸ πέμπτον σύμφωνον, λέγω τὸ π, προκαταληφθὲν ὑπὸ τῆς τρίτης, ἀλλ' οὐδὲ τὸ κ, ὡς ὑπὸ τῆς δευτέρας, ἐξ ἀνάγκης διὰ τῶν ἑπομένων ἐκφέρεται, λέγω δὴ τῶν ἀμεταβόλων, ἃ καὶ φυλάττεται κἀν τῷ μέλλοντι ὡς ἀμετάβολα μετὰ συστολῆς τῆς παραληγούσης καὶ περισπωμένης ἐπὶ τοῦ τέλους· διὰ τοῦτο οὐ παρεδέξατο ἐπὶ τοῦ μέλλοντος τὸ σ διὰ τὰ ἀμετάβολα.

Πάντων δὴ τῶν συμφώνων ληφθέντων ἐπί τε τοῖς ἐνεστῶσι τῶν εἰρημένων συζυγιῶν καὶ τοῖς μέλλουσι⟨ν⟩ ἔμεινεν ἡ ἕκτη διὰ καθαροῦ τοῦ ω. πλὴν οὐ τὸ ω τήνδε χαρακτηρίζει, τὰ πρὸ αὐτοῦ δὲ φωνήεντα. ἢ γὰρ μόνῳ τῷ α παραλήγεται, ὡς γελάω, ἢ τῷ ε, ὡς πλέω, ἢ τῷ ι, ὡς μηνίω, ἢ τῷ ο, ὡς χρυσόω, ἢ τῷ υ, ὡς μηνύω βασιλεύω.

Εἴσηκται παρά τινων ἑβδόμη διὰ τοῦ ξ καὶ ψ, ὡς αὔξω ἕψω. ἀλλ' οὐδέποτε τὸ χαρακτηριστικὸν σύμφωνον τοῦ βαρυτόνου μέλλοντος ἤδη καὶ βαρυτόνου ἐνεστῶτος, ἀλλὰ μᾶλλον περισπᾶται· αὐξῶ γὰρ λέγεται καὶ ἑψῶ. δῆλον δ' ⟨ἐκ⟩ τῶν ἰδίων μελλόντων τοῦ αὐξήσω καὶ ἑψήσω. ὁ δ' ἀπὸ βαρυτόνων θεμάτων μέλλων ἀεὶ ἰσοσυλλαβεῖ τῷ ἐνεστῶτι· οὐκ ἄρα ἑβδόμη συζυγία βαρυτόνων τὸ αὔξω καὶ ἕψω, ἀλλ' Ἀττικὴ χρῆσις, ὡς τὸ θέλω καὶ μέλλω

[DISCR. SCR.] 1 δὲ *om.* H || 3 λιβός H, λικός V | κύνιφος HV (Κῖνυφ Κίνυφος *Stephanus ad Dionys. 893, 27*) || 11 *prius* τοῦ *om. H* || 12 χαρακτηριστικὸν *ex* χαρακτηριστικοῦ *corr. H*, χαρακτηριστικοῦ V | εἶναι καὶ ἐνεστῶτος H, καὶ ἐνεστῶτος εἶναι V || 14 φυσῶνος ω V || 20 κἂν V || 21 τοῦ *om. V* || 22 τοῦ *om. H* | τὸ ἀμετάβολον H || 23 περὶ ἕκτης *lemma in HV* || 25 τὸ α V, *ut paullo post* τὸ ε *et* τὸ ι *et* τὸ ο *et* τὸ υ || 28 ψ] π H || 31 δ' ⟨ἐκ⟩] δε' H, δὲ V | δὲ ἀπὸ V || 33 μέλω H *et Choeroboscus dict. ad Theodos. can. 483, 26*

καὶ ὀφείλω· διὸ οὐδ' ἀπὸ τούτων οἱ μέλλοντες τὸ θελήσω μελ⟨λ⟩ήσω ὀφειλήσω, τοῦ θελῶ δὲ καὶ μελ⟨λ⟩ῶ καὶ ὀφε⟨ι⟩λῶ ἀχρήστων ὄντων.

Ἧδε τοίνυν, ἡ βαρυτόνων ἕκτη φημί, γεννᾷ τρεῖς περισπωμένας· τὴν μὲν πρώτην τῷ ε ψιλῷ παραληγομένην ἐπὶ τοῦ ὁριστικοῦ ἐνεργητικοῦ ἐνεστῶτος, διὰ δὲ τῆς ει διφθόγγου ἐκφερομένην κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον. τὴν δὲ δευτέραν τῷ βραχεῖ α ⟨παραληγομένην⟩, ἐκφερομένην δὲ κατὰ ⟨τὸ δεύτερον καὶ τρίτον πρόσωπον διὰ τῆς αι διφθόγγου, οὐ συνεκφωνουμένου, ἀλλὰ προσγραφομένου ⟨μόνον⟩ τοῦ ι. τὴν δὲ τρίτην τῷ ο ⟨παραληγομένην⟩, διὰ ⟨δὲ⟩ τῆς ο καὶ ι ἐκφερομένην ⟨κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον⟩. ὁ μέλλων τῆς πρώτης διὰ τοῦ η ἢ τοῦ ε. τῆς δὲ δευτέρας διὰ τοῦ η ἢ α. τῆς δὲ τρίτης διὰ τοῦ ω πάντως πλὴν τεσσάρων τινῶν, τοῦ ἀρόσω ὀμόσω ὀνόσω τὸ μέμφομαι καὶ βόσω τὸ θρέψω. οὐκ ἐτηρήθη ⟨δὲ⟩ ἡ τάξις τῶν φωνηέντων ἐνταῦθα, ὡς κἀν τοῖς βαρυτόνοις ἡ τῶν συμφώνων. πρότερον γὰρ ὂν τὸ α ἢ τὸ ε ἡ δευτέρα ἔσχε κατά τε τὴν παράληξιν καὶ κατάληξιν. ἀλλ' ἡ ἐντέλεια τῶν περισπωμένων τὴν ει δίφθογγον ἔχει, ἑκάστη δὲ κατὰ συναίρεσιν τὴν εἰδοποίησιν λαμβάνει. εἰκότως δὲ ἡ πρώτη συζυγία τῇ ει διφθόγγῳ ἔσχε πρώτην, καὶ ἡ ει δίφθογγος τὴν πρώτην καθόλου ἐκληρώσατο συζυγίαν.

Λοιπῶν δὲ τεσσάρων τῶν εἰς μι πρώτη μὲν καὶ δευτέρα καὶ τρίτη πρὸς τῶν περισπωμένων καὶ εὐτάκτως γεγέννηται. ἴδιον δὲ τῆς μὲν πρώτης καὶ ἐπὶ πρώτου καὶ ἐπὶ δευτέρου καὶ τρίτου προσώπου τὸ η ἔχειν, τὴν δὲ μετοχὴν εἰς εις ⟨καὶ⟩ τὸν μέλλοντα διὰ τοῦ η, ἐπὶ δὲ παθητικοῦ τῷ ε παραλήγεσθαι. τῆς ⟨δὲ⟩ δευτέρας καὶ αὐτὴν ἔχειν τὸ ⟨η⟩ κατὰ ταὐτὰ πρόσωπα, τὴν δὲ μετοχὴν εἰς ας, ἐπὶ δὲ παθητικῶν τῷ βραχεῖ α παραλήγεσθαι. τῆς ⟨δὲ⟩ τρίτης ἐπὶ τῶν αὐτῶν προσώπων ἔχειν τὸ ω, τὴν δὲ μετοχὴν εἰς ους, ἐπὶ δὲ παθητικῶν τῷ ο παραλήγεσθαι. μὴ οὔσης δὲ ἑτέρας συζυγίας περισπωμένης, ἐνέδει δὲ τετάρτη τῶν εἰς μι, παρῆκται πρὸς τῆς μητρὸς τῶν περισπωμένων, λέγω τῆς ἕκτης, παραλήγεται δὲ τῷ υ, ἐπὶ ἐνεργητικοῦ μὲν μακρῷ, ἐπὶ δὲ παθητικοῦ βραχεῖ. τοῦ ζευγνύω τὸ υ βραχὺ ὡς ἐντελοῦς ὄντος καὶ μὴ τὴν εἰς μι κληρουμένου συζυγίαν, ἀλλὰ τῶν βαρυτόνων.

[DISCR. SCR.] 1 μελήσω HV *et Choeroboscus* || 2 ὠφελήσω *Choeroboscus* ὠφελῶ *Choeroboscus* || 3 σπεριπωμένας V || 5 *post* ἐκφερομένην *haec dittographia:* δὲ διὰ τῆς ει *in V, eadem verba induxit H* || 7 τρίτον] ταύτην HV || 8 τῷ] τὸ *factum ex* τῷ V | τῆς] τὴν HV || 9 μέλλων] μέντοι HV || 10 η ἢ τοῦ ε] λ ἢ τοῦ η H, η ἢ τοῦ α V | *prius* δὲ *om. H* || 11 ὁμόσω H || 13 ἡ τῶν] αἱ τῶν HV || 14 ἐντέλεια] ἐντε H, ἐν τέλει V || 16 δὲ HV, οὖν *Choeroboscus l. c. 484, 32* | τῇ ει V, τὸ ει H | πρώτην H, πρώτη V || 18 δὲ] δὴ HV || 19 καὶ *ante* εὐτάκτως *om. H* | γεγένηται V | καὶ ἐπὶ πρώτου καὶ *om. H* || 22 ἔχει V | κατὰ ταὐτὰ πρόσωπα] κατὰ ταυ πρόσωπον H, κατὰ τὸ πρόσωπον V || 24 τῷ ο] τὸ ο V | μὴ] ἡ (μ *littera a rubricatore omissa*) *H*, τὴ (τ *littera rubra picta*) V || 28 ἐντελοὺς HV

